# ΤΑΜΕΙΟΝ
# ΤΗΣ ΠΑΤΡΟΛΟΓΙΑΣ

# ΤΑΜΕΙΟΝ

# ΤΗΣ ΠΑΤΡΟΛΟΓΙΑΣ

ΗΤΟΙ

## ΣΥΛΛΟΓΗ

ΤΩΝ ΕΝ ΤΗι ΠΑΤΡΟΛΟΓΙΑι ΤΟΥ ΜΙΓΝΙΟΥ (MIGNE)

**ΚΥΡΙΩΤΕΡΩΝ ΕΝΝΟΙΩΝ, ΦΡΑΣΕΩΝ ΚΑΙ ΥΠΟΘΕΣΕΩΝ,**

ΑΙΣ ΣΥΜΠΕΡΙΕΛΗΦΘΗΣΑΝ ΟΥΚ ΟΛΙΓΑ

**ΚΑΙ ΕΚ ΤΩΝ ΒΥΖΑΝΤΙΝΩΝ ΙΣΤΟΡΙΚΩΝ, ΕΚ ΤΩΝ ΕΥΣΤΑΘΙΟΥ ΕΙΣ ΟΜΗΡΟΝ ΠΑΡΕΚΒΟΛΩΝ**
**ΚΑΙ ΕΞ ΕΛΛΗΝΩΝ ΠΟΙΗΤΩΝ ΚΑΙ ΠΕΖΟΓΡΑΦΩΝ**

ΥΠΟ

**ΔΩΡΟΘΕΟΥ ΣΧΟΛΑΡΙΟΥ**

ΠΡΩΗΝ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΛΑΡΙΣΣΗΣ ΤΟΥ ΘΕΤΤΑΛΟΥ

---

**ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ**

**Γ — Θ**

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

1887

# ΤΑΜΕΙΟΝ
# ΤΗΣ ΠΑΤΡΟΛΟΓΙΑΣ

## Γ

**Γαβαά.** Διὰ τί οἱ ἐν Γαβαὰ ἁλόντες ἐφθάρησαν; (Ἰσίδ. ΟΗ', 240).

**Γάβαλα,** πόλις τῆς Συρίας (Σωκρ. Ἐκκλ. Ἱστορ. ΞΖ', 697. ϞΖ', 657).

**Γαβαών,** πόλις τῆς Ἱερουσαλὴμ ὡσεὶ δέκα σταδίους διεστηκυῖα. Οἱ κάτοικοι Γαβαωνῖται (Κοσμ. Ἱεροσολ. ΛΗ', 423).

**Γαβαωνῖται** ἀπατηλοί. Διὰ τί ὑδροφόροι καὶ ξυλοκόποι. Συνθῆκαι Ἰουδαίων πρὸς τοὺς Γαβαωνίτας (Θεοδώρ. Π', 473, 652).

**Γαβριάβιος** μαθητὴς Μάνεντος (Κύριλλ. Ἱεροσολ. ΛΓ', 593 σημ.).

**Γαβριὴλ** ἀρχάγγελος, κῆρυξ ἦν τῶν γενησομένων, ἀλλ' οὐ συνεργός (Κύριλλ. Ἱεροσολ. ΛΓ', 976). Μέλλοντος τοῦ Κυρίου γεννᾶσθαι ἐκ Παρθένου ὑπηρέτει τότε ὁ Γαβριήλ, οἰκεῖον ἀξίωμα λαβὼν τὴν ὑπηρεσίαν τοῦ Εὐαγγελισμοῦ (Αὐτόθ. 673). Τὰ περὶ τῆς αἰωνίου διαμονῆς τοῦ Σωτῆρος ἐδίδαξεν (Αὐτόθ. 909).

*Γαβριήλ.* Ἐν τῷ τῶν Ὀφιτῶν διαγράμματι ἀετοειδὴς περιγράφεται (Ὠριγ. ΙΑ', 1341, ἔνθα περὶ Μιχαὴλ καὶ Ῥαφαήλ).

*Γαβριὴλ* ἄγγελος, καὶ παρέστηκε τῷ Θεῷ διηνεκῶς. Ὁ Σατανᾶς, ἄγγελος, καὶ ἐξέπεσε τῆς οἰκείας τάξεως. Κἀκεῖνον ἡ προαίρεσις διεφύλαξεν ἐν τοῖς ἄνω, καὶ τοῦτον κατέρριψε τῆς γνώμης τὸ αὐτεξούσιον κ. ἑ. (Βασίλ. ΛΑ', 345 κ. ἑ.).

*Γαβριὴλ* ὁ ἀρχάγγελος πῶς ἀντέστη τῷ Μιχαήλ; (Δανιὴλ Ι', 12. Χρυσόστ. ΝΘ', 692).

**Γαγαλικὴ,** ἡ τὸ πάλαι Ἡράκλεια τῆς Συρίας (Εὐάγρ. Ἐκκλ. Ἱστ. ΠϚ', 2812).

**Γάδ,** υἱοῦ Ἰακὼβ Διαθήκη. Περὶ μίσους (Β', 1113-1120). Ἀποθνήσκει 120 ἐτῶν.

**Γαδδανᾶς** ὅσιος (Λαυσαϊκ. ΛΔ', 1212).

**Γάδειρα,** πόλις μέν ἐστι τῆς Ἰουδαίας, περὶ ἣν τὰ διαβόητα θερμὰ τυγχάνει, λίμνη δὲ κρημνοῖς παρακειμένη οὐδαμῶς ἐστιν ἐν αὐτῇ ἡ θάλασσα. Ἀλλὰ Γέργεσα, ἀφ' ἧς οἱ Γεργεσαῖοι κ. ἑ. (Ὠριγ. ΙΔ', 272).

*Γάδειρα,* τόπος ἐστὶ περὶ τὰ ἑσπέρια μέρη κ. ἑ. Γάδειρα δὲ ἤκουσε παρὰ τὴν γῆν καὶ δειράν· δειρὴ δὲ καλεῖται τράχηλος κ. ἑ. (Νόννος ἀββᾶς ΛϚ', 1064).

*Γάδειρα.* Τὸ γὰρ ἐπέκεινα Γαδείρων οὐ περατόν, παροιμία (Γρηγ. Ναζ. ΛϚ', 528).

*Γάδειρα.* Τὸ δὲ πρόσθε Γαδείρων μὴ περατὸν εἶναι ἀνθρώποις, Πινδάρῳ φιλοσοφοῦντι πιστεύομεν (Γρηγ. Ναζ. ΛΖ', 284).

**Γαδείρων** θάλασσα πρὸς τὴν Ἐρυθρὰν συνάπτεται θάλασσαν ἐκ τοὔπισθεν (Βασίλ. ΚΘ', 88).

**Γάζα,** κατὰ τὴν ἑβραΐδα, θησαυρὸς ἑρμηνεύεται (Ἐπιφ. ΜΑ', 2116).

**Γαζαῖοι.** Ἀπόνοια αὐτῶν κατὰ τῶν Χριστιανῶν ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου (Γρηγ. Ναζ. ΛΕ', 612).

**Γαζαρηνοί,** Βαβυλωνίων σοφοί. Παρὰ Πέρσαις Μαγουσαῖοι. Παρ' Ἕλλησιν Ἱεροφάνται. Παρ' Αἰγυπτίοις Προφῆται (Ἐπιφ. ΜΒ', 804).

**Γαζῆς** Θεόδωρος (ΡΞΑ').

**Γαζοφυλάκιον** ἱερόν, εἰς ὃ ἔρριπτον ὑπὲρ τοῦ κοινοῦ τὰ θρέψοντα τοὺς δεομένους (Ὠριγ. ΙΔ', 540-541).

**Γαθέω,** δωρικῶς ἀντὶ τοῦ γηθέω.

**Γαθυλλὶς** καὶ γηθυλλίς, τὸ καὶ γήτειον, ὅ ἐστιν εἶδος ἀγρίου λαχάνου (Λ. Εὐστ.).

**Γαΐ,** πόλις (Ἰησ. Ζ΄. Θεοδώρ. Π΄, 472).

**Γαῖα** ἀντὶ χώρα. Γαῖα, ὅτι ἀπὸ τοῦ γῶ, ὅ ἐστι χωρῶ καὶ τίκτω.

**Γαιζῆται** οἱ Γαλάται, οἱ τῆς οἰκείας ἐκπεσόντες ποτέ, καὶ γῆν, ἣν οἰκήσουσι, ζητοῦντες (Λ. Εὐστ.).

**Γαιήοχος** ὁ συνέχων τῇ ὑγρασίᾳ τὴν γῆν, ὡς μὴ εἰς χοῦν διαλύεσθαι, καὶ ἁπλῶς ὁ συνεκτικὸς τῆς γῆς. Γαιήοχος Ποσειδῶν ὁ ἐπὶ γῆς ὀχούμενος (Λ. Εὐστ.).

**Γαϊνᾶς** ὁ βάρβαρος καὶ Γότθος, καὶ τὰ ὑπ' αὐτοῦ πραχθέντα δεινά (Σωκράτ. ΞΖ΄, 676. Σωζόμ. αὐτόθ. 1521).

*Γαϊνᾶς*. Ὁμιλία Χρυσοστόμου, ὅτε ὁ Γαϊνᾶς ἐξῆλθε τῆς πόλεως (ΝΒ΄, 414 κ. ἑ.).

**Γαΐνας** ὁ καὶ Γαϊνᾶς (Ζώσιμ. ἔκδ. Βόνν. σελ. 242, 255, 277).

**Γαϊνῖται** καὶ Θεοδοσιανοὶ αἱρετικοί (Ἀναστ. Σιν. ΠΘ΄, 92, 296). Γαϊνιτῶν πίστις καὶ ἄλλων τινῶν πίστις καὶ δόξαι (Λεόντ. Βυζάντ. ΠϚ΄, 1260 κ. ἑ. 1268, καὶ Τιμόθ. αὐτόθ. 44).

**Γάϊος,** ὁ μίσθιος καὶ παχὺς καὶ ἀναίσθητος παρὰ τὸ γαῖα (Λ. Εὐστ.).

*Γάϊος* ἢ γαῖον, δόρυ ὁλοσίδηρον, κατὰ γλῶσσαν (Λ. Εὐστ.).

*Γάϊος* (Εὐσέβ. Κ΄, 271, 273, 473, 669).

*Γάϊος* πρεσβύτερος Ῥώμης (Ι΄, 47 κ. ἑ.).

*Γάϊος* ἐπίσκοπος Ῥώμης (Εὐσέβ. Κ΄, 721).

*Γάϊος* Καλλιγόλας αὐτοκράτωρ Ῥωμαίων. Ὅτι Διόνυσος ἐχρημάτιζε (Λ. Εὐστ.—Ζώσιμ. σ. 12.—Ζων. ἔκδ. Βόνν. τόμ. Β΄, σ. 446).

**Γαίω** τὸ γαυριῶ (Λ. Εὐστ.).

**Γακίνας** ὁ σεισμός, παρὰ τὸ τὴν γῆν κινεῖν (Εὐστ. αὐτ.).

**Γάλα.** Καὶ ὀρνίθων γάλα· παροιμία ἐπ' εὐδαιμονίας καὶ τρυφῆς. Γάλα συκῆς (Αὐτ.).

«*Γάλα ὑμᾶς ἐπότισα ἐν Χριστῷ*». (Α΄ Κορινθ. γ΄, 2). Κατήχησα ὑμᾶς ἐν Χριστῷ ἁπλῇ καὶ ἀληθεῖ καὶ αὐτοφυεῖ τροφῇ τῇ πνευματικῇ· τοιαύτη γὰρ ἡ τοῦ γάλακτος ζωοτρόφος οὐσία, φιλοστόργοις πηγάζουσα μαστοῖς κ. ἑ. (Κλήμ. Ἀλεξ. Η΄, 292), ἔνθα φυσιολογία περὶ τοῦ γάλακτος (Αὐτόθ. 292-312). Ἔτι γάλα γυναικὸς κυησάσης καὶ φυσιολογία περὶ τοῦ γάλακτος (Ὁ αὐτ. Θ΄, 773-776). Γάλα ἐπὶ τὸ πνευματικώτερον (Αὐτόθ.).

*Γάλα*. Οὕτω γάλα ποτίζει Παῦλος τὸν νεογνὸν τοῦ Κυρίου λαόν, σοφῶς αὐτὸν διὰ τῆς τοῦ νόμου νηπιότητος παιδεύων τὴν τελειότητα (Ἰσίδ. Πηλ. ΟΗ΄, 428).

*Γάλα*. Θηλάζει ἡ Σάρρα. Τοῦ γὰρ γνησίου τόκου ἡ τοῦ γάλακτος ἐπιρροὴ ἀπόδειξις ἐναργεστάτη (Ἰσίδ. αὐτόθ. 869-872).

*Γάλα ὑμᾶς ἐπότισα* (Ὁμιλία Χρυσοστ. ΞΑ΄, 67-76). Ἀεὶ δὲ ὁ Παῦλος γάλα τὸν ταπεινὸν λόγον καλεῖ καὶ ἐνταῦθα καὶ ἐκεῖ (Χρυσόστ. ΞΓ΄, 72 διὰ τὸ τοῖς ἀφελεστέροις ἁρμόζειν).

*Γάλα*, μήτρα, τόκος κτλ. (Μελέτιος μοναχ. ΞΔ΄, 1084-1101) φυσιολογία.

**Γαλαάδ,** ἔγγονος ἦν τοῦ Μανασσῆ (Βασίλ. ΚΘ΄, 465).

**Γαλαθηνόν,** ἐκ τοῦ γάλα καὶ τοῦ θῆσθαι, ὅ ἐστι θηλάζειν (Λ. Εὐστ.).

**Γαλαθηνῶν** ζώων θυσίαι ἐν Βαβυλῶνι· καὶ ὅτι οἱ Ἕλληνες ἀπείχοντο τῶν γαλαθηνῶν ζώων (Αὐτόθ.).

**Γαλακτοφάγοι** ἄνθρωποι, καὶ γαλακτοφάγα ἔθνη (Αὐτόθ.).

**Γαλαξίας** κύκλος (Εὐσέβ. ΙΘ΄, 969 καὶ 1048).

**Γαλάται** θύοντες τοὺς αἰχμαλώτους (Λ. Εὐστ.).

*Γαλάται* ἐν Ἀσίᾳ καὶ Βρέννος (Ζωναρ. ΡΛΔ΄).

*Γαλάται*. Γαλατῶν ἄνοια πλουτούντων ἐν πολλοῖς τῆς ἀσεβείας ὀνόμασι (Γρηγ. Ναζ. ΛΕ΄, 1145). Οἱ πρόσχωροι τῆς ἐμῆς Ἐκκλησίας Γαλάται, τὸ σύνηθες αὐτοῖς περὶ τὰς αἱρέσεις ἀρρώστημα κτλ. (Γρηγ. Νύσσ. ΜϚ΄, 1076).

*Γαλάται*. Ὑπόμνημα εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ Παύλου (Χρυσόστ. ΞΑ΄, 611 κ. ἑ.).

**Γαλάτεια,** κύριον Νηρηΐδος, ὅτι παρὰ τὴν γαλήνην λέγεται· ἢ παρὰ τὸ γαλακτόχρουν τοῦ ἐπιπολάζοντος ἀφροῦ τῷ ὕδατι (Λ. Εὐστ.).

**Γαλατία.** Πλῆθος ἐν ταύτῃ αἱρετικῶν ἦν (Βασίλ. ΛΒ΄, 883). Ἐκ ταύτης ἀνεφύη αἵρεσις διδάσκουσα, ὅτι μετὰ τὸ τέλος τοῦ κόσμου οὐ βασιλεύει Χριστός (Κύριλλ. Ἱεροσ. ΛΓ΄, 908). Περὶ τῶν ἐν Γαλατίᾳ μοναχῶν (Σωζόμ. ΞΖ΄, 1393).

**Γαλατῶν** γυναῖκες, φυλαδὸν φεύγοντας τοὺς ἑαυτῶν ἄνδρας ἐντρέπουσαι ἐθάρρησαν. Καὶ Σκυθίδες τινὲς γυναῖκες παρ' Ἡροδότῳ τοὺς ἑαυτῶν ἄνδρας φεύγοντας ὁρῶσαι προτροπάδην, ἀνασυράμεναι τὰ κάτω, πῆ φεύγετε ; εἶπον, ἢ ἵνα κρυβῆτε εἰς τὰ ἐξ ἀρχῆς ; Ὅθεν αἰδεσθέντες ἐκεῖνοι ἐθάρρησαν (Λ. Εὐστ.).

**Γαλγέλ,** ἐλευθερία (Θεοδώρ. ΠΔ', 915).

**Γαλερὸν** τὸ γαληνόν, ὅ ἐστιν ἥσυχον καὶ προσηνές.

**Γαλεῶται,** οἱ καὶ ξιφίαι καὶ κύνες, ὅτι κήτη τινὰ θαλάσσια λέγονται (Λ. Εὐστ.).

**Γαλῆ,** ὅτι Ἡρακλεῖ ἀνέκειτο, καὶ ὅτι ὑπὸ γαλῆς τραφῆναι μυθεύεται ὁ Ἡρακλῆς (Λ. Εὐστ.). Τὴν γαλῆν τιμῶσι Θηβαῖοι (Κλήμ. Ἀλεξ. Θ', 784).

**Γαληναρία,** νῆσος ἔρημος ἐν τῷ Τυρρηνικῷ πελάγει (Σωζόμ. ΞΖ', 1081).

**Γαλήνη** νηνεμίη λέγεται, ὅταν ἐν μεγάλῳ κλύδωνι παύσηται ὁ ἄνεμος, πρὸς διαστολὴν τῆς ἁπλῶς γαλήνης, καθ' ἣν τὰ κύματα τελέως ἔστρωνται (Λ. Εὐστ.).

*Γαλήνη*, ὅτι παρὰ τὸ γάλα λέγεται· διὸ καὶ λευκὴ γαλήνη λέγεται ἐπιθετικῶς (Αὐτ.).

**Γαληνός.** Γαληνοῦ περὶ αἱρέσεων (Φώτ. ΡΓ', 160).

**Γαληνότατος** βασιλεύς (Θεοδώρ. ΠΔ', 915).

**Γαλιῆνος** (Ζωναρ. ἔκδ. Βόνν. βιβλ. 6', σελ. 592-603).

**Γάλλα** θυγάτηρ Οὐαλεντιανοῦ καὶ δευτέρα σύζυγος Θεοδοσίου τοῦ Μεγάλου· ἡ δὲ πρώτη αὐτοῦ σύζυγος Πλακιδία, ἐξ ἧς ἐγένοντο αὐτῷ Πλακιδία, Ἀρκάδιος καὶ Ὀνώριος (Σωκρ. Ἐκκλ. Ἱστορ. ΞΖ', 549).

**Γαλλέα.** Μάρτυρες ἐν Γαλλίᾳ (Εὐσέβ. Κ', 408).

*Γαλλία*. Τίνες ἐπίσκοποι αὐτῆς οἱ παρευρεθέντες ἐν τῇ ἐν Σαρδικῇ Συνόδῳ (Ἀθαν. ΚΕ', 337). Πολλοὶ ἐπίσκοποι αὐτῆς κατεδιώχθησαν δι' Ἀθανάσιον (Αὐτόθ. 409).

**Γαλληνὸς** αὐτοκράτωρ καὶ εἰρήνη τῆς Ἐκκλησίας (Εὐσέβ. Κ', 673). Βασιλεία αὐτοῦ (Αὐτόθ. 962.—Ζώσιμ. σελ. 29).

**Γαλλικανὸς** κλῆρος καὶ λαός (Γεράσ. Βλάχος Η', 61).

**Γαλλιλαία.** Τί συμβολικῶς ἐδήλου αὕτη, καὶ τί Ἰουδαία (Ὠριγ. ΙΔ', 501).

Περὶ τῆς Γαλλιλαίας τῶν ἐθνῶν, ἐφ' ᾗ ὁ Σωτὴρ ἡμῶν τὰ πλεῖστα τῶν παραδόξων εἰργάσατο (Εὐσέβ. ΚΒ', 681). Πόσον διὰ τῆς παρουσίας ηὔφρανεν αὐτὴν ὁ Σωτὴρ ἡμῶν (Αὐτόθ. 685).

*Γαλλιλαία*, ἡ Κατακυλιστὴ τῇ ἑλλάδι γλώττῃ ἑρμηνεύεται. Διὸ καὶ Γελγὲλ ὁ τροχὸς ὀνομάζεται κ. ἑ. (Γρηγ. Νύσσ. ΜϚ', 649 κ. ἑ.).

*Γαλλιλαία*. Πῶς ὁ Κύριος καὶ πρὸ τῆς Γαλλιλαίας ἐν τοῖς Ἱεροσολύμοις τοῖς Ἀποστόλοις ἐμφανίζεται ; Ἑρμηνεία (Φώτ. ΡΑ', 652).

*Γαλλιλαία* τὸ ὄρος ἐγγὺς Ἱερουσαλήμ· ἡ ἀρκτικὴ κορυφὴ τοῦ ὄρους τῶν Ἐλαιῶν Γαλλιλαία καλεῖται (Προσκυνητάριον τῆς ἁγίας Γῆς σελ. 290).

**Γαλλιλαῖοι,** αἱρετικοί (Ἰουστ. Ϛ', 665).

*Γαλλιλαῖοι*. Πόθεν ὑπὸ Ἰουλιανοῦ τοῦ Παραβάτου οἱ Χριστιανοὶ οὕτως ἐκλήθησαν ; (Γρηγ. Ναζ. ΛΕ', 597-600).

*Γαλλιλαῖοι*. Τί καλοῦσιν οἱ ἄγγελοι Γαλλιλαίους τοὺς Ἀποστόλους ; Ἑρμηνεία (Φώτ. ΡΑ', 721).

**Γαλλίμ.** Τὸ ὅριον τῆς Μωαβίτιδος Γαλλὶμ ὠνόμασται. Ὅμως ἑρμηνεύεται κεχριωμένον, ἐπώνυμον τῷ ἡγεμονικῷ ζῴῳ καὶ ἀρχικῷ (Βασίλ. Λ', 644).

**Γάλλοι.** Ὁποῖος νόμος τοῦ γάμου ὑπῆρχε παρ' αὐτοῖς. Παρὰ δὲ Γάλλοις οἱ νέοι γαμοῦνται μετὰ παρρησίας, οὐ ψόγον τοῦτο ἡγούμενοι διὰ τὸν παρ' αὐτοῖς νόμον. Ἐν Βρεττανίᾳ πολλοὶ ἄνδρες μίαν γυναῖκα ἔχουσι· ἐν δὲ τῇ Παρθίᾳ πολλαὶ γυναῖκες ἕνα ἄνδρα κ. ἑ. (Εὐσέβ. ΚΑ', 472).

*Γάλλοι* ἐπίσκοποι Βασιλείῳ συνημμένοι ἦσαν (Βασίλ. ΛΒ', 753).

**Γάλλος** ἀδελφὸς Ἰουλιανοῦ τοῦ Παραβάτου τῆς τῶν ἀδελφῶν αὐτοῦ σφαγῆς ῥυσθείς. (Γρηγ. Ναζ. ΛΕ', 549). Φιλανθρωπία Κωνσταντίου ἀπέδειξεν αὐτὸν βασιλέα (Αὐτόθ. 557). Φονεύεται ὑπὸ Κωνσταντίου (Αὐτόθ. 560). Ἀνεψιὸς ἦν τοῦ μεγάλου Κωνσταντίνου ἀπ' ἀδελφοῦ (Φιλοστόργ. ΞΕ', 512). Διδάσκαλος αὐτοῦ ἦν ὁ Ἀέτιος. Αἰτία τοῦ θανάτου αὐτοῦ (Αὐτόθ. 513 κ. ἑ.). Διορισμὸς αὐτοῦ εἰς Καίσαρα καὶ θάνατος (Σωκρ. Ἐκκλ. Ἱστ. ΞΖ', 296. — Ζώσιμ. σελ. 121).

*Γάλλος*, ἐκτομίας, εὐνοῦχος (Λ. Εὐστ.).

**Γάλλου** αὐτοκράτορος βασιλεία (Ζώσιμ. σελ. 25.—Ζωναρ. τόμ. Β΄, σελ. 589-591).

*Γάλλου* καὶ Δεκίου αὐτοκρατόρων κακοτροπίαι (Εὐσέβ. Κ΄, 640).

**Γάλως** εἶναι λέγεται γυναικί τινι ἡ τοῦ ἀνδρὸς αὐτοῦ ἀδελφή, ἢ ἡ τοῦ ἀδελφοῦ γυνή. Γάλως- γάλω, καὶ γάλως- γάλωος (Λ. Εὐς.).

**Γαμαλιὴλ** καὶ Νικόδημος. Εὗρον ἐν τούτῳ τῷ βιβλίῳ καὶ τὸν τοῦ Παύλου κατὰ τὸν νόμον διδάσκαλον Γαμαλιὴλ καὶ πιστεύσαντα καὶ βαπτισθέντα, καὶ Νικόδημον τὸν νυκτερινὸν φίλον καὶ ἡμερινὸν γεγονότα καὶ μαρτυρίῳ τελειωθέντα, ὃν καὶ ἀνεψιὸν γενέσθαι τοῦ Γαμαλιὴλ ἡ ἱστορία διδάσκει κ. ἑ. (Φώτ. ΡΓ΄, 500).

**Γαμβρός**, ὅτι καὶ ἐπὶ πενθεροῦ τίθεται καὶ ἁπλῶς ἐπὶ παντὸς συγγενοῦς ἐξ ἐπιγαμίας, καὶ ὅτι παρὰ τὸ γαμεῖν λέγεται, οἱονεὶ γαμηρός (Λ. Εὐστ.).

**Γαμεῖν.** Καθόλου μὲν ἢ γαμητέον, ἢ γάμου εἰς τὸ παντελὲς καθαρευτέον. Ἔχεται γὰρ συζητήσεως· καὶ τοῦτο ἐν τῷ περὶ ἐγκρατείας ἡμῖν δεδήλωται. Ἔνθα περὶ γάμου καὶ συνουσίας φυσιολογία (Κλήμ. Ἀλεξ. Η΄, 509).

Ἄμεινον γαμῆσαι ἢ πυροῦσθαι, μὴ εἰς πῦρ ἐμβάλῃς τὴν ψυχήν σου κ. ἑ. Ὁ γῆμαι μὴ θέλων, νέος ἢ πένης, ἢ κατωφερής. Ἔνθα καὶ περὶ εὐνούχων· καὶ ὅτι φυσικὸν τὸ τῶν ἀφροδισίων, οὐκ ἀναγκαῖον δέ (Κλήμ. Ἀλεξ. Η΄, 1100-1104).

*Γαμεῖν* οὐ κωλυτέον. Εἰ δὲ ἁμαρτία ὁ γάμος ὁ κατὰ νόμον, οὐκ οἶδα πῶς τις ἐρεῖ Θε[illegible] ἐγνωκέναι, λέγων τὰ προστάγματα τοῦ Θεοῦ ἁμαρτίαν εἶναι. Ἁγίου ὄντος τοῦ νόμου, ἅγιος ὁ γάμος κ. ἑ. (Κλήμ. Ἀλεξ. Η΄, 1185-1188).

Τί δὲ λέγουσι πρὸς ταῦτα οἱ τοῦ νόμου κατατρέχοντες, καὶ τοῦ γάμου ὡς κατὰ νόμον συγκεχωρημένου, μονονουχὶ δὲ καὶ κατὰ τὴν Διαθήκην τὴν Καινήν; Τί πρὸς ταύτας ἔχουσιν εἰπεῖν τὰς νομοθεσίας οἱ τὴν σπορὰν καὶ τὴν γένεσιν μυσαττόμενοι· ἐπεὶ καὶ τὸν ἐπίσκοπον τοῦ οἴκου καλῶς προϊστάμενον νομοθετεῖ τῆς Ἐκκλησίας ἀφηγεῖσθαι; Οἶκον δὲ Κυριακὸν μιᾶς γυναικὸς συνίστησι συζυγία (Κλήμ. Ἀλεξ. Η΄, 1189 κ. ἑ.).

*Γαμεῖν.* Διὰ τί οὐκ ἐπιτρέπεται ἡμῖν δύο γυναῖκας ἔχειν, πολλῶν δικαίων ἐν τῇ Παλαιᾷ δύο καὶ τρεῖς ἐχόντων; Εἶπεν ὁ Θεός, «ἔσονται οἱ δύο εἰς σάρκα μίαν». Καὶ οὐκ εἶπεν, ἔσονται οἱ τρεῖς εἰς σάρκα μίαν. Ὁμοίως δὲ τῷ Ἀδὰμ μία δέδοται γυνή (Ἀθαν. ΚΗ΄, 657).

*Γαμεῖν.* Ὅτι οὐκ ἔξεστι τῷ ἀπολύσαντι τὴν ἑαυτοῦ γυναῖκα γαμεῖν ἄλλην, οὔτε τὴν ἀπολελυμένην ἀπὸ ἀνδρὸς ἑτέρῳ γαμεῖσθαι, ἔνθα καὶ τὰ χωρία τῆς Γραφῆς (Βασίλ. ΛΑ΄, 652).

*Γαμεῖν.* Περὶ τῶν δύο ἀδελφὰς γαμούντων, ἢ ἀδελφοῖς δυσὶ γαμουμένων. Ὁ δὲ ἀδελφοῦ ἰδίου γυναῖκα λαβὼν οὐ πρότερον δεχθήσεται, πρὶν ἀποστῆναι αὐτῆς (Βασίλ. ΛΒ΄, 724).

*Γαμεῖν* προτιμότερον ἢ κρύφα πορνεύειν. Κρεῖττον πεσόντα ἀπὸ δρόμου φανερῶς ἑαυτῷ λαβεῖν γυναῖκα κατὰ νόμον κ. ἑ. περὶ γάμου καὶ ἀγαμίας (Ἐπιφ. ΜΑ΄, 1049).

*Γαμεῖν* γὰρ ἐκώλυε, καὶ βρωμάτων ἀπέχεσθαι ἐδογμάτιζεν Εὐστάθιος ὁ Σεβαστείας ἐπίσκοπος. Καὶ διὰ τοῦτο πολλοὺς μὲν τοὺς γεγαμηκότας τοῦ συνοικεσίου ἐχώριζε, καὶ τὰς Ἐκκλησίας ἐκτρεπόμενος ἐπ' οἰκίας τὴν κοινωνίαν ποιεῖσθαι ἀνέπειθεν. Δούλους καὶ γυναῖκας κτλ. (Σωκρ. Ἱστ. ΞΖ΄, 352-353).

*Γαμεῖν* κωλύοντες. Ἔσται καιρὸς ὅτε χαλεπώτερον αὐτοὶ οἱ τῆς πίστεως μετεσχηκότες τοῦτο ἐργάσονται, οὐ μέχρι βρωμάτων, ἀλλὰ καὶ μέχρι γάμων, καὶ πάντων τῶν τοιούτων τὴν ὀλέθριον συμβουλὴν εἰσάγοντες (Χρυσόστ. ΞΒ΄, 557 κ. ἑ.).

*Γαμεῖν.* Τὸ δὲ μὴ χρῆναι γαμεῖν οὔτε ὁ παλαιὸς νόμος, οὔτε τὸ νέον ἡμῖν τεθέσπικε κήρυγμα (Κύριλλ. Ἀλεξ. ΞΗ΄, 341). Κίβδηλοι οἱ κωλύοντες γαμεῖν, καὶ ἀσυμφύλως δεδιδαχότες ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν τοῖς πιστοῖς (Αὐτόθ. 397).

*Γαμεῖν* κωλυόντων καὶ ἀπέχεσθαι βρωμάτων τὸ τοῦ Ἀποστόλου (Α΄ Τιμ. δ΄, 3). Ἡ Ἐκκλησία καὶ τὸν γάμον τίμιον ἡγεῖται, καὶ τὰ βρώματα οὐ βδελύττεται· ἀλλ' οὐδὲ ἀντέχεσθαι προστάττει, ἀλλὰ μέσην χώραν καὶ τῷ γάμῳ καὶ τοῖς βρώμασιν ἀπονέμει. Κρείττων μὲν καὶ ὑψηλότερος ὁ οἴκοθεν μὴ

ἀπολαμβάνων αὐτῶν· ὁ δὲ μετρίως ἀπολαύων, οὐ μεμπτός. Ὁ δὲ διαβάλλων τὴν μετρίαν ἀπόλαυσιν γάμου τε καὶ βρωμάτων ἔξω ἱερῶν περιβόλων ἐσκήνωται κ. ἑ. Πραγματεία (Ἰσίδωρ. Πηλ. ΟΗ', 1177-1184).

**Γαμέσαι** διαφέρει τοῦ γαμῆσαι. Ζήτει ἐν τῷ γαμῆσαι (Λ. Εὐστ.).

**Γαμετὴ** καὶ Γραμματική. Παλλαδᾶς. (Ἑλλην. Ἀνθολογ. τόμ. Γ', σελ. 86).

*Γαμετὴ* καὶ γαμέτης. Γαμέτης ὁ ἀνήρ, καὶ γαμετὴ ἡ γυνή (Λ. Εὐστ.). Γαμεταὶ ὑπὸ μὲν τῶν ἰδίων ἀνδρῶν καθαραί· ὑπὸ πορνείας δὲ ἢ μοιχείας ἀκάθαρτοι. Καὶ ὅτι συνερχόμενοι ἀλλήλοις, κἂν μὴ λούσωνται, καθαροί εἰσι· μοιχὸν δὲ ἢ πόρνον λουτρὸν οὐ καθαιρεῖ (Διατ. Ἀποστ. Α', 985-988).

*Γαμετὴν* οὐλομένην ἠγαγόμην ὁ τάλας. Παλλαδᾶς (Ἑλλην. Ἀνθολογ. τόμ. Γ', σελ. 323).

**Γαμηλία** Ἥρα, ἡ τοῖς γάμοις ἐπιστατοῦσα, καὶ γαμήλιος εἶδος πέμματος (Λ. Εὐστ.).

**Γαμήλιον,** τὸ ἐπὶ τῷ γάμῳ τινῶν γραφὲν ποίημα, καὶ ἁπλῶς πᾶν δῶρον ἐν γάμῳ διδόμενον.

**Γαμήλιος** ᾠδή· μῦθος καὶ διήγησις (Εὐσέβ. ΚΑ', 160 κ. ἑ.).

**Γαμηλιών,** μὴν παρ' Ἀθηναίοις εἰς γάμους ἀφωρισμένος, καὶ γαμηλιὼν ὁμωνύμως εἶδος πλακοῦντος (Λ. Εὐστ.).

**Γαμῆσαι** τὸ γυναῖκα λαβεῖν· γαμέσαι δὲ τὸ γυναῖκα δοῦναι (Λ. Εὐστ.).

*Γαμῆσαι* τὴν γυναῖκα τοῦ ἀδελφοῦ· ἐκ τοῦ Δευτερονομίου. Ζητητέον ἐν αὐτῷ τίς ἡ μία γυνὴ καὶ τίνες οἱ δύο ἀδελφοὶ ἄνδρες κ. ἑ. (Ὠριγ. ΙΓ', 1572).

*Γαμῆσαι* συμφέρει, ἢ οὔ; Τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος· συμφέρει δὲ τοῖς μετρίοις, οὐ τοῖς ἀπλήστοις, καὶ πλέον ἢ δεῖ τὴν σάρκα τιμᾶν βουλομένοις κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 293).

**Γαμικοὶ** νόμοι παρ' Ἑβραίοις (Ὠριγ. ΙΓ', 1592 κ. ἑ.).

**Γαμικὸς** τόκος, καὶ παρθενικὸς τόκος (Θεοδώρ. ΠΒ', 276). Γαμικὴ ὁμιλία (Αὐτόθ. Π', 425).

**Γάμος,** ὁμίλου συνέλευσις. Γάμος οἱονεὶ δάμος παρὰ τὸ δεδμῆσθαι ἀλλήλοις τοὺς συζύγους. Γάμος τὸ συνοικέσιον, ὅτι ἐν Ἀθήναις πρῶτον ἤχθη, Κέκροπος εἰσηγησαμένου (Λ. Εὐστ.).

*Γάμος* νέων καὶ ἡλικιωμένων. Γαμείτωσαν δὲ ἐν ὥρᾳ γάμου γενόμενοι παρθένους ἐλευθέρας γονέων ἀγαθῶν. Ὁ δὲ μὴ μέλλων ἄγεσθαι παρθένον μὴ ζευγνύσθω συνοικοῦσαν ἄλλῳ, μηδὲ λυπῶν τὸν πρότερον αὐτῆς ἄνδρα (Κλήμ. Ῥώμ. Α', 761). Νέων δὲ μὴ μόνον κατεπειγέτωσαν τοὺς γάμους, ἀλλὰ καὶ τῶν προβεβηκότων, μήπως ζέουσα ἡ ὄρεξις προφάσει πορνείας ἢ μοιχείας λοιμὸν προσενέγκῃ τῇ Ἐκκλησίᾳ κ. ἑ. (Ὁ αὐτ. Κλήμ. Β', 41, 153).

*Γάμος*. Μονογαμία μὲν κατὰ νόμον γινομένη δικαία, ὡς ἂν κατὰ γνώμην Θεοῦ ὑπάρχουσα· διγαμία δὲ μετὰ ἐπαγγελίαν παράνομον, οὐ διὰ τὴν συνάφειαν, ἀλλὰ διὰ τὸ ψεῦδος. Τριγαμία δὲ ἀκρασίας σημεῖον· τὸ δὲ ὑπὲρ τὴν τριγαμίαν προφανὴς πορνεία, καὶ ἀσέλγεια ἀναμφίβολος. Ὁ γὰρ Θεὸς μίαν γυναῖκα ἑνὶ ἀνδρὶ δέδωκεν ἐν τῇ δημιουργίᾳ «Ἔσονται γὰρ οἱ δύο εἰς σάρκα μίαν (Διατ. Ἀποστ. Α', 764).

Τριγαμίας νόμος οὐκ ἔστιν. Ὥστε νόμῳ γάμος τρίτος οὐκ ἄγεται. Τὰ μέν τοι τοιαῦτα ὡς ῥυπάσματα τῆς Ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα (Βασίλ. ΛΒ', 732, Καν. 50).

*Γάμος* ἄνευ ἱερολογίας. Εἴ τις παλλακὴν κεκτημένος οὐ βούλεται καταλιπεῖν αὐτὴν ἢ εὐλογηθῆναι καὶ μετὰ ἱερολογίας ἔχειν, οὐ χρὴ δέχεσθαι τὰ παρ' αὐτοῦ προσφερόμενα τῇ Ἐκκλησίᾳ, ἧς τοὺς θείους θεσμοὺς διὰ τῶν ἔργων καταφρονῶν ἐνυβρίζει (Νικηφ. Π. Κ/πόλεως, Ρ', 860, Καν. ΛΔ').

*Γάμος* νέων καὶ προτροπὴ πρὸς τοὺς γονεῖς αὐτῶν. Σπουδάζετε, ὦ γονεῖς, ὥρᾳ γάμου ζευγνύναι καὶ συναλλάσσειν τὰ τέκνα, ἵνα μὴ τῆς ἡλικίας ἐν τῇ ἀκμῇ ζεούσης ἔθη πορνοκόπα ἀποβῇ (Διατ. Ἀποστ. Α', 824.— Κλήμ. Ῥώμ. Β', 41, 153).

Μὴ ἀμελῶμεν τῶν νέων, ἀλλ' ἰδόντες τῆς καμίνου τὴν πυράν, πρὶν ἢ εἰς ἀσέλγειαν ἐγκυλισθῆναι, σπουδάζωμεν κατὰ τὸν τοῦ Θεοῦ νόμον αὐτοὺς συνάπτειν πρὸς γάμον· ἵνα καὶ τὰ τῆς σωφροσύνης αὐτῶν διατηρῆται,

καὶ μηδεμίαν λύμην δέξωνται ἐξ ἀκολασίας, ἔχοντες ἀρκοῦσαν παραμυθίαν, καὶ δυναμένην τῆς σαρκὸς τὰ σκιρτήματα καταστέλλειν, καὶ κολάσεως ἐκτὸς εἶναι (Χρυσόστ. ΝΔ', 513-520).

*Γάμος* μυστήριον καὶ παρ' Ἕλλησιν. Μυστήριον γοῦν εἶχον καὶ τὸν γάμον. Ἔλεγον δὲ προτελεῖσθαι καὶ προμυεῖσθαι, καὶ οἱονεὶ προκαθαίρεσθαι εἰς ἑτοιμασίαν μυστηρίου· Τὸν γάμον οἱ Ἀθηναῖοι τέλος ἐκάλουν, ὡς τελειοῦντα πρὸς τὸν βίον τὸν ἄνθρωπον (Παχυμ. Δ', 477, 521).

*Γάμου* σκοπός. Γυναῖκα ἄγονται Χριστιανοὶ χάριν τοῦ παιδοποιήσασθαι. Οὐ γὰρ μελέτῃ λόγων, ἀλλ' ἐπιδείξει καὶ διδασκαλίᾳ ἔργων τὰ ἡμέτερα· ἢ οἷός τις ἐτέχθη μένειν, ἢ ἐφ' ἑνὶ γάμῳ. Ὁ γὰρ δεύτερος εὐπρεπής ἐστι μοιχεία (Ἀθηναγ. ς', 965). Ἄνευ γάμου, κοινὰς εἶναι τὰς γυναῖκας ἐνομοθέτει ὁ Πλάτων. Διὰ τί δῆθεν ; ἔνθα καὶ τὰ χωρία (Θεόφ. Ἀντιοχ. ς', 1128).

*Γάμου* σκοπὸς ἐπὶ παίδων ἀνατροφῇ· ἢ παραιτούμενοι τὸ γήμασθαι, τέλεον ἐνκρατευόμεθα. Ἡ ἀνέδην μῖξις οὐκ ἔστιν ἡμῖν μυστήριον (Ἰουστ. ς', 373).

## Ἐκ τῶν τοῦ Κλήμεντος Ἀλεξανδρέως.

### *Περὶ γάμου.*

*Γάμος.* Ἐπεὶ δὴ ἡδονὴ καὶ ἐπιθυμία ὑποπίπτειν γάμῳ δοκεῖ, καὶ περὶ τούτου διαληπτέον. Γάμος μὲν οὖν ἐστι σύνοδος ἀνδρὸς καὶ γυναικὸς ἡ πρώτη (ἡ μοναγαμία) κατὰ νόμον ἐπὶ γνησίων τέκνων σπορᾷ.

Παίδων, φησί, σπόρῳ τῶν γνησίων
Δίδωμί σοί γε τὴν ἐμαυτοῦ θυγατέρα.

Ζητοῦμεν δέ, εἰ γαμητέον. Τίνι γὰρ γαμητέον, ᾧπερ καὶ πῶς ἔχοντι, καὶ τίνα, καὶ πῶς ἔχουσαν· οὔτε γὰρ παντὶ γαμητέον, οὔτε πάντοτε, ἀλλὰ καὶ χρόνος ἐστίν, ἐν ᾧ καθήκει, καὶ πρόσωπον, ᾧ προσήκει, καὶ ἡλικία, μέχρι τίνος. Οὔτε οὖν πάντοτε, οὔτε παντὶ γαμητέον πᾶσαν, ἀλλ' οὐδὲ παντελῶς καὶ ἀναίδην, ἀλλὰ τῷ ἔχοντι, καὶ ὁποίαν, καὶ ὁπότε δεῖ, καὶ χάριν παίδων, καὶ τὴν κατὰ πάντα ὁμοίαν, καὶ μὴ βίᾳ ἢ ἀνάγκῃ στέργουσαν τὸν ἀγαπῶντα ἄνδρα κ. ἑ. (Η', 1085 κ. ἑ.).

*Γάμος* καὶ παιδοποιία. Συνουσίας δὲ τὸν καιρὸν μόνοις τοῖς γεγαμηκόσιν ἀπολέλειπται σκοπεῖν· τοῖς δὲ γεγαμηκόσι σκοπὸς ἡ παιδοποιία· τέλος δὲ ἡ εὐτεκνία κ. ἑ. (Αὐτόθ. 497).

Ἀναίρεσις τῆς γνώμης Βασιλείδου τοῦ γνωστικοῦ, διδάσκοντος ἀποχὴν τοῦ γάμου (Αὐτόθ. 1097 κ. ἑ.).

Πόθεν οἱ αἱρετικοὶ καί τινες τῶν ἀρχαίων φιλοσόφων τοῦ γάμου ἀπέχεσθαι ἐδίδασκον (Αὐτόθ. 1113 κ. ἑ.). Πυθαγόρας, Πλάτων, Μαρκίων (Αὐτόθ. 1113-1128). Τίσι προφάσεσι χρώμενοι οἱ αἱρετικοὶ παντὸς εἴδους λαγνείαν καὶ σαρκικὰς ἡδονὰς διδάσκουσιν (Αὐτόθ. 1129-1144). Δύο γένη αἱρετικῶν ὑπάρχουσιν, οἱ μὲν τὴν ἀθεμιτουργίαν διδάσκοντες, οἱ δὲ τὴν ἐγκράτειαν (Αὐτόθ. 1144—1165). Τίσι τῆς θείας Γραφῆς χωρίοις χρῶνται οἱ τὴν ἀποχὴν διδάσκοντες (Αὐτόθ. 1164-1204).

Οἱ τοὺς γάμους καὶ τὴν γένεσιν διαβάλλοντες βλασφημοῦσι τὸν Θεὸν καὶ τὸ Εὐαγγέλιον (Αὐτόθ. 1205-1213).

Καθαρὸν οὖν τὸν γάμον, ὥσπερ τι ἱερὸν ἄγαλμα, τῶν μιαινόντων φυλακτέον (Αὐτόθ. 1096).

*Γάμος* πρῶτος· γάμος δεύτερος· ἀγαμία. Ἡμεῖς εὐνουχίαν μέν, καὶ οἷς τοῦτο δεδώρηται ὑπὸ Θεοῦ, μακαρίζομεν· μονογαμίαν δὲ καὶ τὴν περὶ τὸν ἕνα γάμον σεμνότητα θαυμάζομεν. Περὶ δὲ τοῦ δευτέρου γάμου, εἰ πυροῖ, φησὶν ὁ Ἀπόστολος, γάμησον. Κρεῖσσον γάρ ἐστι γαμῆσαι, ἢ πυροῦσθαι (Α' Κορινθ. ζ', 9. — Αὐτόθ. 1104).

*Γάμος.* Μιαροὶ οἱ μιαρὰν τὴν συνουσίαν λέγοντες (Αὐτόθ. 1149-1152). Γάμον βδελυσσόμενοι τίνες (Αὐτόθ. 1153 κ. ἑ.). Γάμῳ ὡμίλησαν οἱ παλαιοί· δίκαιοι καὶ οἱ Ἀπόστολοι (Αὐτόθ. 1156-1165).

*Γάμος* συζύγων. Ἡ δὲ ἐκ συμφώνου πρὸς καιρὸν σχολάζουσα τῇ προσευχῇ συζυγία ἐγκρατείας ἐστὶ διδασκαλία κ. ἑ. (Αὐτόθ. 1177 κ. ἑ.). Ἡ πρόθεσίς τε ἑκάστου τοῦ τε ἑαυτὸν εὐνουχίσαντος τοῦ τε αὖ γάμῳ διὰ παιδοποιίαν συζεύξαντος, ἀνένδοτος πρὸς τὸ ἧττον διαμένει κ. ἑ. (Αὐτόθ. 1177 κ. ἑ. 1208 κ. ἑ.).

*Γάμου* καὶ εὐνουχίας ἴδια καθήκοντα. Ἔχει γὰρ ὥσπερ ἡ εὐνουχία, οὕτω καὶ ὁ γάμος ἰδίας λειτουργίας καὶ διακονίας τῷ Κυρίῳ διαφερούσας, τέκνων, λέγω, κήδεσθαι καὶ γυναικός κ. ἑ. (Αὐτόθ. 1180 κ. ἑ.). Σώφρων γάμος, σώφρων ἡ σπορά· εἰς Θεὸν βλασφημοῦσιν οἱ μυσαττόμενοι τὴν σώφρονα σποράν (Αὐτόθ. 1181).

*Γάμος* κατὰ νόμον, ἅγιος καὶ μυστήριον (Αὐτόθ. 1185 κ. ἑ.).

***Γάμος*** εὐδαίμων ἁγιάζεται διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως, τελειούμενος, ἐὰν ἡ συζυγία ὑποπίπτῃ τῷ Θεῷ καὶ διοικῆται μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως κ. ἑ. Χρὴ δὲ τὸν εὐδαίμονα γάμον οὔτε πλούτῳ, οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ. Ἔνθα καὶ χωρία τῶν θύραθεν (Αὐτόθ. 1337).

***Γάμου*** ἀνάγκη καὶ νόμος (Αὐτόθ. 1088-1097). Γάμος. Γεγαμηκότες. Ἐγὼ δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἄν, οἴκοι τὰς ἑαυτῶν γυναῖκας μή ποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν. Οὐδὲν τιμιώτερον ἢ πολυτιμότερον, ἢ ἡδονικώτερον, ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς. Γνώμη δικαία, καὶ φρονοῦσα τἀνδρικά (Αὐτόθ. 664).

***Γάμος***, προτιμότερος ἀγαμίας, ἐὰν γένῃ κατὰ τοῦ Θεοῦ τὸ θέλημα καὶ ὡς πρέπει. Γάμος γενόμενος τέλειος, εἰκόνας ἔχει τοὺς Ἀποστόλους· καὶ τῷ ὄντι ἀνὴρ οὐκ ἐν τῷ μονήρη ἐπανελέσθαι δείκνυται βίον, ἀλλ' ἐκεῖνος ἄνδρας νικᾷ ὁ γάμῳ καὶ παιδοποιΐᾳ καὶ τῇ τοῦ οἴκου προνοίᾳ ἀνηδόνως τε καὶ ἀλύπως ἐγγυμνασάμενος μετὰ τῆς τοῦ οἴκου κηδεμονίας, ἀδιάσπαστος τῆς τοῦ Θεοῦ γενόμενος ἀγάπης καὶ πάσης κατεξανιστάμενος πείρας, τῆς διὰ τέκνων καὶ γυναικός, οἰκετῶν τε καὶ κτημάτων προσφερομένης· τῷ δὲ ἀοίκῳ τὰ πολλὰ εἶναι συμβέβηκεν ἀπειράστῳ. Μόνου γ' οὖν ἑαυτοῦ κηδόμενος, ἡττᾶται πρὸς τοῦ ἀπολειπομένου μὲν κατὰ τὴν ἑαυτοῦ σωτηρίαν, περιττεύοντος δὲ ἐν τῇ κατὰ τὸν βίον οἰκονομίᾳ, εἰκόνα ἀτέχνως σώζοντος ὀλίγην τῇ τῆς ἀληθείας προνοίᾳ κ. ἑ. (Ὁ αὐτ. Κλήμ. Θ', 497 κ. ἑ.).

***Γάμος***. Τί δήποτε μὴ ὁμοίως τοῖς παλαιοῖς καὶ παρ' ἡμῖν τὰ τῆς πολυπαιδίας σπουδάζεται; Πραγματεία (Εὐσέβ. ΚΒ', 77).

***Γάμος***. Ὅτι τίμιος ὁ γάμος· καὶ ὅτι ἔκκρισις σπέρματος οὐ ποιεῖ ἀκάθαρτον. Πάντα μὲν καλὰ καὶ καθαρὰ τὰ τοῦ Θεοῦ ποιήματα· οὐδὲν γὰρ ἄχρηστον ἢ ἀκάθαρτον ὁ τοῦ Θεοῦ πεποίηκε Λόγος κ. ἑ. Φυσικὴ ἔκκρισις οὐκ ἔστιν ἁμάρτημα. Γάμου χρῆσις ἔννομος, ἣν καὶ Θεὸς ἐπέτρεψεν· ἄνομος ἡ δημώδης μέν, λαθραίως δὲ καὶ μοιχικῶς ἐπιτελουμένη. Ὁ αὐτὸς τοίνυν λόγος καὶ περὶ τῆς μίξεως. Μακάριος ὃς ἐν νεότητι, ζυγὸν ἔχων ἐλεύθερον, τῇ φύσει πρὸς παιδοποιίαν κέχρηται· εἰ δὲ πρὸς ἀσέλγειαν, πόρνους καὶ μοιχοὺς ἡ παρὰ τῷ Ἀποστόλῳ γραφεῖσα τιμωρία ἐκδέξεται. Ὅς τις δὲ τὸν γάμον ἕλοιτο μέμψιν οὐκ ἔχει (Ἀθαν. ΚϚ', 1173).

## Ἐκ τῶν τοῦ Μεγάλου Βασιλείου

*Περὶ γάμου.*

*Γάμος*. Ὁ τῆς φύσεως δεσμός, ὁ διὰ τῆς εὐλογίας ζυγός, ἕνωσις ἔστω τῶν διεστώτων. Κἂν τραχὺς ᾖ, κἂν ἄγριος τὸ ἦθος ὁ σύνοικος, ἀνάγκη φέρειν τὴν ὁμόζυγα καὶ ἐκ μηδεμιᾶς προφάσεως καταδέχεσθαι τὴν ἕνωσιν διασπᾶν (ΚΘ', 160).

Ἄρρενος καὶ θήλεος φυσιολογία εἰς μῖξιν καὶ γαμον (Λ', 669 κ. ἑ.). Τότε γὰρ νόμιμος καὶ κατὰ τὰς θείας Γραφὰς συνίσταται γάμος, ὅταν μὴ πάθος ἡδονῆς προκαταλάβῃ τοῦ νόμου τὴν χρείαν κ. ἑ. (Αὐτόθ. 745 κ. ἑ.).

***Γάμος***. Ὅτι οὐ δεῖ ἄνδρα ἀπὸ γυναικὸς ἢ γυναῖκα ἀπὸ ἀνδρὸς χωρίζεσθαι, εἰ μή τις ἂν ἐπὶ πορνείᾳ ἁλῷ, ἢ εἰς τὴν θεοσέβειαν κωλύηται· ἔνθα καὶ τὰ γραφικὰ χωρία (ΛΑ', 849-853).

***Γάμος*** ἄθεσμος πρὸς κοινωνίαν δύο ἀδελφῶν (ΛΒ', 624). Περὶ τριγάμων καὶ πολυγάμων (Αὐτόθ. 673, 732).

***Γάμος*** κανονικῶν. Τῶν κανονικῶν τὰς πορνείας εἰς γάμον μὴ καταλογίζεσθαι, ἀλλὰ παντὶ τρόπῳ διασπᾶν αὐτῶν τὴν συνάφειαν (Αὐτόθ. ΛΒ', 673).

***Γάμου*** διάλυσις. Ἡ τοῦ Κυρίου ἀπόφασις, κατὰ μὲν τὴν τῆς ἐννοίας ἀκολουθίαν, ἐξ ἴσου καὶ ἀνδράσι καὶ γυναιξὶν ἁρμόζει, περὶ τοῦ μὴ ἐξεῖναι γάμου ἐξίστασθαι, παρεκτὸς λόγου πορνείας· ἡ δὲ συνήθεια οὐχ οὕτως ἔχει· ἀλλ' ἐπὶ μὲν τῶν γυναικῶν πολ-

λὴν εὑρίσκομεν ἀκριβολογίαν· ἡ δὲ συνήθεια καὶ μοιχεύοντας ἄνδρας καὶ ἐν πορνείαις ὄντας κατέχεσθαι ὑπὸ γυναικὸς προστάττει κ. ἑ. (Αὐτόθ. ΛΒ', 677).

Ὥστε ἡ μὲν γυνὴ ἀπὸ πορνείας ἐπανιόντα τὸν ἄνδρα αὐτῆς παραδέξεται· ὁ δὲ ἀνὴρ τὴν μιανθεῖσαν τῶν οἴκων ἑαυτοῦ ἀποπέμψει. Καὶ τούτων δὲ ὁ λόγος οὐ ῥᾴδιος· ἡ δὲ συνήθεια οὕτω κεκράτηκεν (Αὐτόθ. ΛΒ', 721).

Ἡ πορνεία γάμος οὐκ ἔστιν· ἀλλ' οὐδὲ γάμου ἀρχή, ὥστε, ἐὰν ᾖ δυνατὸν τοὺς κατὰ πορνείαν συναπτομένους χωρίζεσθαι, τοῦτο κράτιστον· ἐὰν δὲ στέργωσι τὸ συνοικέσιον, ἀφιέσθωσαν, ἵνα μὴ χεῖρόν τι γένηται (Αὐτόθ. ΛΒ', 724).

*Γάμος* τρίτος. Τριγαμίας νόμος οὐκ ἔστιν. Ὥστε νόμῳ γάμος τρίτος οὐκ ἄγεται. Τὰ μέντοι τοιαῦτα ὡς ῥυπάσματα τῆς Ἐκκλησίας ὁρῶμεν· δημοσίαις δὲ καταδίκαις οὐχ ὑποβάλλομεν, ὡς τῆς ἀνειμένης πορνείας αἱρετώτερα (Αὐτόθ. ΛΒ', 673, 732).

Πότε τὸ διαζύγιον ἐπιτέτραπται (ΛΔ', 849). Καθήκοντα τῶν γεγαμηκότων (Αὐτόθ. 852). Ὁ γάμος καὶ ἡ παρθενία τὸ διπλοῦν συνίστησιν εἶδος τῆς ζωῆς (Αὐτόθ. ΛΑ', 628).

*Γάμος*. Περὶ τῶν καλουμένων εἰς τοὺς γάμους. «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ποιοῦντι γάμους τῷ υἱῷ αὐτοῦ» (Ματθ. κβ', 1-3). Πραγματεία (Ὠριγ. ΙΓ', 1524).

*Γάμος* πρῶτος καὶ δεύτερος. Εὐέλπιδες ἔστωσαν καὶ οἱ ἐν γάμῳ, νομίμως τῷ γάμῳ χρώμενοι· οἱ γάμον ἔνθεσμον, ἀλλὰ μὴ τοῦτον ἀσελγῆ κατασκευάζοντες, διὰ τὴν ἄμετρον ἐξουσίαν. Καὶ οἱ μονόγαμοι δὲ τοὺς δευτέρῳ γάμῳ συμπεριενεχθέντας μὴ ἀποδοκιμαζέτωσαν· καλὸν μὲν ἡ ἐγκράτεια καὶ θαυμάσιον, συγγνωστὸν δὲ καὶ τῷ δευτέρῳ γάμῳ προσελθεῖν, ἵνα μὴ πορνεύσωσιν οἱ ἀσθενεῖς (Κύριλλ. Ἱεροσολ. ΛΓ', 488).

*Γάμος*. Ἡ γυνὴ καὶ ὁ ἀνήρ, ὅταν συνέρχωνται, ἕν εἰσιν, ἄλλη δὲ ὥρᾳ κεχωρισμένοι εἰσίν· ὅτι πολλάκις ὁ εἷς αὐτῶν ἀποθνήσκει, καὶ ὁ ἕτερος ζῇ (Μακάρ. Αἰγύπτ. ΛΔ', 613).

*Γάμος* καὶ λαγνεία ἀνδρὸς καὶ γυναικός. Φυσιολογία τοῦ σπέρματος (Ὠριγ. ΙΓ', 1260 κ. ἑ. — Ἱπποκρ. αὐτόθ. σημ.).

*Γάμος*. Ὁ τίμιος γάμος ὑπέρκειται παντὸς δώρου γηΐνου, ὡς ἔγκαρπον δένδρον, ὡς ἀστεῖον φυτόν, ὡς ῥίζα τῆς παρθενίας, ὡς γεωργὸς τῶν λογικῶν καὶ ἐμψύχων κλάδων, ὡς εὐλογία τῆς τοῦ κόσμου αὐξήσεως, ὡς παρήγορος τοῦ γένους, ὡς δημιουργὸς τῆς ἀνθρωπότητος, ὡς τῆς θεϊκῆς εἰκόνος ζωγράφος, ὡς τὸν δεσπότην εὐλογοῦντα κεκτημένος, ὡς πάντα τὸν κόσμον φέρειν δεχόμενος, ὡς ἐκείνῳ πολιτευόμενος, ὃν καὶ ἐνανθρωπῆσαι ἐδυσώπησεν, ὡς δυνάμενος λέγειν μετὰ παρρησίας: «Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός» (Ἑβρ. ιγ', 4. — Ἡσ. η', 18).

Ταῦτα δὲ λέγοντες, ἀγαπητοί, οὐ μάχην παρεισβάλλομεν μεταξὺ παρθενίας καὶ γάμου· τὰ ἑκάτερα δὲ ὡς ἀλληλόχρεα θαυμάζομεν. Ἐπειδὴ τῶν ἑκατέρων ὁ δεσπότης καὶ προνοητὴς οὐκ ἀντιταλαντεύει ἕτερον τῷ ἑτέρῳ· πρὸς γὰρ τὰ ἑκάτερα τῆς θεοσεβείας ἔχεται. Ἄνευ γὰρ τῆς τιμίας καὶ θεοσεβοῦς εὐσεβείας καὶ εὐλογίας οὔτε παρθενία σεμνή, οὔτε γάμος τίμιος (Ἀμφιλόχ. ΛΘ', 45).

*Γάμος*. Ὁ γάμος ἀντεισήχθη μετὰ τὴν παράβασιν. Ἐπεὶ οὖν ἐπὶ τῇ συνοχῇ τοῦ γένους, καὶ ἐπὶ αὐξήσει τῆς φύσεως, ὁ τοῦ γάμου ἐδόθη νόμος, τῷ μὲν ἀνθρώπῳ ἡδονὴν ἐνέσπειρε, τὸ δὲ θῆλυ θωπευτικὸν ἐποίησεν· οὐχ ἵνα ἑταιρικῶς πρὸς μίξεις ἐρεθίζωνται, ἀλλ' ἵνα ἐννόμως πρὸς γάμον συνάπτωνται. Ὅθεν ἡ μὲν ἔνθεσμος τοῦ γάμου μῖξις τιμία παρὰ τῷ Θεῷ· ἡ δὲ πρὸς χάριν τῶν ἡδονῶν θανάτῳ ὑποβέβληται κ. ἑ. (Ὁ αὐτ. Ἀμφιλόχ. Ἰκον. ΛΘ', 72).

## Ἐκ τῶν τοῦ Γρηγορίου Ναζιανζηνοῦ.

### *Περὶ γάμου.*

*Γάμου* καὶ ἀγαμίας προσόντα (ΛΕ', 797 κ. ἑ.). Καλὸν ὁ γάμος· ἀλλ' οὐκ ἔχω λέγειν, ὅτι καὶ ὑψηλότερον παρθενίας. Οὐδὲ γὰρ ἦν τι μέγα ἡ παρθενία, μὴ καλοῦ καλλίων τυγχάνουσα. Μὴ λοιπὸν χαλεπαίνετε ὅσαι ὑπὸ ζυγόν. Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Πλὴν ἀλλήλαις συνδεσμεῖσθε καὶ παρθένοι καὶ γυναῖκες, καὶ ἓν ἔστε ἐν Κυρίῳ, καὶ ἀλλήλων καλλώπισμα· οὐκ ἂν ἄγαμος, εἰμὴ γάμος κ. ἑ. (ΛϚ', 293).

*Γάμος*. Τὸ πρῶτον νόμος· τὸ δεύτερον συγχώρησις· τὸ τρίτον παρανομία· ὁ δὲ ὑπὲρ τοῦτο χοιρώδης κ. ἑ. Ἡ πόρνη νοθεύει τὸ γένος (Αὐτόθ. 292).

*Γάμος* καὶ παρθενία. Ὡς μακάριόν σου τὸ ὑψηλόν, εἰ καθαρότης ἦν, ἀλλὰ μὴ τύφος νομοθετῶν ὑπὲρ ἄνθρωπον, καὶ λύων τῇ ἀπογνώσει τὴν ἐπανόρθωσιν. Ὁμοίως ἐστὶ κακόν, καὶ ἄνεσις ἀσωφρόνιστος, καὶ κατάγνωσις ἀσυγχώρητος· ἡ μὲν ὅλην ἐφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφοδρῷ κατάγχουσα. Δεῖξόν μοι τὴν καθαρότητα, καὶ δέχομαί σου τὴν θρασύτητα. Νῦν δὲ δέδοικα, μὴ βρύων ἕλκεσιν, εἰσάγεις τὸ ἀνιάτρευτον (Αὐτόθ. ΛϚ΄, 356).

*Γάμον*, ζυγόν. Ὅσοι τὸν τοῦ γάμου ζυγὸν ἐδέξασθε φιλοσοφεῖτε ἐν ταῖς ἰδιοτροπίαις τῶν γυναικῶν, πλὴν μοιχείας (Αὐτόθ. ΛϚ΄, 292).

*Γάμος* καλός, ὅταν ἐπιθυμία παίδων διαδοχῆς. Γάμου ἐπακόλουθα· χηρεία, ὀρφανία, ἄωροι θάνατοι, καὶ τὰ διάδοχα τῶν κρότων πένθη, καὶ οἱ ἐπὶ τοῖς θαλάμοις τάφοι, καὶ αἱ ἀτεκνίαι, καὶ αἱ κακοτεκνίαι, καὶ οἱ ἀτελεῖς τόκοι καὶ ἀμήτορες, καὶ πᾶσα ἡ περὶ ταῦτα κωμῳδία ἢ τραγῳδία. Ἀμφότερα γὰρ εἰπεῖν οἰκειότατον. Συμφέρει γαμῆσαι; κἀγὼ δέχομαι. Τίμιον ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. Συμφέρει δὲ τοῖς μετρίοις καὶ ἀντέχειν δυναμένοις (Αὐτόθ. ΛϚ΄, 293).

*Γάμου* σωφροσύνη, περὶ ἣν ὁρῶ τοὺς πολλοὺς κακῶς διακειμένους, καὶ τὸν νόμον αὐτῶν ἄνισον καὶ ἀνώμαλον. Τί δήποτε γὰρ τὸ μὲν θῆλυ ἐκόλασαν, τὸ δὲ ἄῤῥεν ἐπέτρεψαν (οἱ νομοθέται); Καὶ γυνὴ μὲν κακῶς βουλευομένη περὶ κοίτην ἀνδρὸς μοιχᾶται, καὶ πικρὰ ἐντεῦθεν τὰ τῶν νόμων ἐπιτίμια· ἀνὴρ δὲ καταπορνεύων γυναικός, ἀνεύθυνος; Οὐ δέχομαι ταύτην τὴν νομοθεσίαν, οὐκ ἐπαινῶ τὴν συνήθειαν. Ἄνδρες ἦσαν οἱ νομοθετοῦντες, διὰ τοῦτο κατὰ γυναικῶν ἡ νομοθεσία. Πῶς οὖν σὺ σωφροσύνην μὲν ἀπαιτεῖς, οὐκ ἀντεισφέρεις δέ; Πῶς, ὃ μὴ δίδως αἰτεῖς; Πῶς ὁμότιμον σῶμα ὤν, ἀνίσως νομοθετεῖς; (Αὐτόθ. ΛϚ΄, 289).

Μιμήσομαι Χριστόν, τὸν καθαρὸν νυμφαγωγὸν καὶ νυμφίον, ὃς καὶ θαυματουργεῖ γάμῳ, καὶ τιμᾷ συζυγίαν τῇ παρουσίᾳ. Μόνον ἔστω γάμος καθαρός, καὶ πόθοις ῥυπαροῖς ἀνεπίμικτος (Αὐτόθ. 381).

*Γάμους* ἑστιῶμεν τῆς χρυσῆς Ὀλυμπιάδος. Ἀπὼν πάρειμι καὶ συνεορτάζω, καὶ τῶν νέων τὰς δεξιὰς ἀλλήλαις τε ἐμβάλλω, καὶ ἀμφοτέρας τῇ τοῦ Θεοῦ. Καὶ νῦν δὲ τοῖς γάμοις συνεισφέρομεν τὰς εὐχάς (Αὐτόθ. ΛΖ΄, 316—317).

*Γάμος* συνάπτει τὰ γένη σὺν τῇ γνησίᾳ φιλίᾳ. Εὔχομαι ὑμῖν ἐπὶ παντὶ βελτίστῳ γενέσθαι τὴν συζυγίαν, καὶ οἵαν εἰκός, Θεοῦ συναρμόζοντος. Ἐγὼ δὲ ὑμῖν προσᾴσω τὸν ἐμὸν ἐπιθαλάμιον. Εὐλογήσαι ὑμᾶς Κύριος ἐκ Σιών, καὶ αὐτὸς ἁρμόσαι τὴν συζυγίαν, καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου, οὐ πολὺ δ' εἰπεῖν, ὅτι καὶ κρείττονας· Τοῦτο καὶ παρὼν ἐπηυξάμην ἂν ὑμῖν, καὶ νῦν ἐπεύχομαι. Τἄλλα δὲ ὑμῖν μελέτω καὶ στεφανούτω πατήρ, ὡς ηὔξατο. Τοῦτο γὰρ καὶ εἴ που γάμοις παραγεγόναμεν, ἐτυπώσαμεν· ἐκείνων μὲν εἶναι τοὺς στεφάνους, ἡμῶν δὲ τὰς εὐχάς, ἃς οἶδα μὴ τόποις ὁριζομένας (Αὐτόθ. ΛΖ΄, 373).

*Γάμος* χριστιανῶν. Ἓν τῶν καλῶν παρεῖναι Χριστὸν τοῖς γάμοις· (οὗ δὲ Χριστός, εὐκοσμία), πάντα δεῖ μεταποιεῖσθαι πρὸς τὸ βέλτιον οὕτως, ὡς μὴ τὰ ἄμικτα μίγνυσθαι, μήτε εἰς ταὐτὸν ἄγειν ἐπισκόπους καὶ γελωτοποιούς, εὐχὰς καὶ κρότους, ψαλμῳδίας καὶ συναυλίας. Δεῖ γὰρ ὥσπερ τἄλλα πάντα, οὕτω καὶ τοὺς γάμους χριστιανῶν ἔχειν τὸ εὔκοσμον· κόσμος δὲ ἡ σεμνότης. Ταῦτα δωροφοροῦμεν τῷ γάμῳ· σὺ δὲ ἡμῖν ἀντιδοίης τὴν εὐπείθειαν. Τὸν δὲ γαμβρόν, εἰ μὲν ἕπεται τούτοις, ἔχεις υἱόν· εἰ δὲ στρατιώτην (Αὐτόθ. 376).

*Γάμος* μέν ἐστιν ἔννομος σαρκῶν δέσις (Αὐτόθ. 958).

*Γάμος* συγγνώμη πάθους. Αἰνείσθω δὲ καὶ γάμος· πρὸ γάμου δ' ἀφθορία. Γάμος πατὴρ ἁγίων, ἁγνεία δὲ λατρεία. Ταύτην καὶ τότε καιροῖς ἐτίμων τοῖς εὐθέτοις. Ἀδὰμ ἐν παραδείσῳ, Μωσῆς ἐν ὄρει Σινᾶ, λειτουργῶν ὁ Ζαχαρίας ὁ πατὴρ τοῦ Προδρόμου (Αὐτόθ. ΛΖ΄, 634 κ. ἑ.).

*Καλὸν* γάμῳ δεδέσθαι, σωφρόνως μόνον, πλεῖον νέμοντα τῷ Θεῷ συσσαρκίας (Αὐτόθ. 643). Ὁ τὸν γάμον φυλάσσων, ἴσος ἐγκρατεῖ γενέσθω (Αὐτόθ. 648). Τὰ ἐν τῷ γάμῳ προσάντη καὶ θλιβερά (Αὐτόθ. 569. 541. 545. 543).

*Γάμος* ἐστὶ χαλινὸς ἀμέτρου ὕλης. Πότε ἀναγκαῖος τῷ κόσμῳ ἐγένετο (Αὐτόθ. 530—531). Ἔπαινος καὶ ἐλαττώματα γάμου (Αὐτόθ. 650. 652).

***Γάμος*** δὲ οὐκ ἂν κληθείη τὸ δι' αἰσχρότητος τὴν σύστασιν ἔχον· λύει τοιγαροῦν γαμικὸν θεσμὸν ἡ τοιῷσδε κεχρημένη γυνή (Κοσμ. Ἱεροσ. ΛΗ', 520).

*Γάμος*. Τὸν ἐπ' ἀλλήλοις πόθον, τοῦ τε ἀνδρὸς φημὶ καὶ τῆς γυναικός, φυσικῶς ἐντεθεῖσθαι ἀρχῆθεν ὑπὸ τοῦ δημιουργοῦ τοιοῦτον, ὥστε καὶ μὴ βουλομένοις αὐτοῖς, ὅμως ἐξ ἐμφύτου κινήσεως, ἀλλεπαλλήλλοις ἐπείγεσθαι· οὐκ ἐπὶ πᾶσι δέ, οὔτε πρὸς ἑκάστην τῶν θηλυτέρων τοῦ ἀνδρὸς εἶναι τὴν ἔφεσιν· οὐδὲ πάλιν τῆς γυναικὸς ἐπὶ πᾶσι τοῖς ἄῤῥεσιν ὁροθέσιον θέμενος, ὅπερ ἐστὶν κατὰ συζυγίαν, τὸν κτηνώδη κατ' ἀγέλην ὧδε τρόπον ἀποτρέπει. Καὶ τοῖς μὲν ἄλλοις κτήνεσιν ἀφραδέουσιν ἐπαλλήλοις τὸ μαίνεσθαι παρέσχεν ἡ φύσις ἀγεληδόν· ἀνθρώποις δὲ κατὰ συζυγίαν· καίτοι φυσικῶς ὁ πόθος ἐγκείμενος ὁροθετεῖται· καὶ τὸ μὲν φέρεσθαι πρὸς συνουσίαν φυσικῶς ἔγκειται πᾶσι· τὸ δὲ μὴ κεχρῆσθαι ταῖς ὁρμαῖς, ἀλλ' ἐγκρατεῖν φύσεως καὶ βιάζεσθαι, μόνης ἐστὶν ἀρετῆς, καὶ τῶν ὑπὲρ φύσιν πολιτευομένων (Κοσμᾶς αὐτόθ. 633—634). Οἱ γάμῳ προσομιλοῦντες χελῶνι ἐοίκασι, βαδίζουσι μὲν ἐθέλοντες πρὸς Θεόν, νωθρότερον δὲ τὸ περικεῖσθαι τὴν γαμήλιον ἀχθηδόνα (Αὐτόθ. 635).

*Γάμου* ὀργασμὸς ἐν ἐπιτηδείῳ καιρῷ πᾶσι τοῖς ἀερίοις καὶ ἐναλίοις καὶ ἐπιγείοις τῆς πρὸς ἀλλήλους μίξεως, πλὴν ἀνδρὸς καὶ γυναικός· διότι μόνη ἡ γυνή, καὶ μετὰ τὴν σύλληψιν οὐ παραιτεῖται τοῦ ἀνδρός· διὰ τί; (Αὐτόθ. 641—642).

*Γάμος* καὶ ἀγαμία ἐπίμικτα (Αὐτόθ. 769. 784). Πῶς ἐν ἀνομίαις συλλαμβάνεται ἄνθρωπος; Πῶς ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ με ἡ μήτηρ μου; (Αὐτόθ. 1104—1105).

*Γάμος* παράνομος. Ἔχεις τὴν θύραν τοῦ τοῦ νόμου, φύγε τὴν παράθυρον τῆς ἀνομίας. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας, ἀλλ' ἐμβαίνων ἀλλαχόθεν, κλέπτης ἐστὶ καὶ λῃστής, ὡς λανθάνων ἐν τῷ πορνεύειν· λῃστής, ὡς διορύττων ἀλλότριον γάμον. Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας τοῦ γάμου, πατήρ ἐστι τῶν γνησίων τέκνων (Ἀστέρ. Ἀμασ. Μ', 444).

*Γάμος*. Ἀκούσατε νῦν οἱ κάπηλοι τῶν γάμων, καὶ τὰς γυναῖκας ὡς ἱμάτια εὐκόλως μετενδυόμενοι· οἱ τὰς παστάδας πολλάκις καὶ ῥᾳδίως πηγνύντες ὡς πανηγύρεως ἐργαστήρια· οἱ τὰς εὐπορίας γαμοῦντες, καὶ τὰς γυναῖκας ἐμπορευόμενοι· οἱ μικρὸν παροξυνόμενοι, καὶ εὐθὺς τὸ βιβλίον τῆς διαιρέσεως γράφοντες· κ. ἑ. (Ὁ αὐτ. Ὁμιλ. «Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν». Μ', 225—240).

Αἱ γὰρ πλείους τῶν αἱρέσεων τούτων (τῶν Μοντανιστῶν), τοῦ γαμεῖν κωλύουσιν· ἀπέχεσθαι βρωμάτων παραγγέλλουσιν, οὐχ ἕνεκεν πολιτείας προτρεπόμενοι, οὐχ ἕνεκεν ἀρετῆς μείζονος, καὶ βραβείων καὶ στεφάνων, ἀλλὰ βδελυκτὰ τὰ ὑπὸ τοῦ Κυρίου γεγενημένα ἡγούμενοι.

Ἡ δὲ ἁγία Ἐκκλησία καὶ παρθενίαν δοξάζει, καὶ μονότητα, καὶ ἁγνείαν, καὶ χηροσύνην ἐπαινεῖ, καὶ γάμον σεμνὸν τιμᾷ καὶ δέχεται. Πορνείαν δέ, καὶ μοιχείαν, καὶ ἀσέλγειαν ἀπαγορεύει (Ἐπιφάν. ΜΑ', 868). Περὶ α', καὶ β', γάμου (Ὁ αὐτὸς ΜΒ', 824).

*Γάμου* μὴ ὄντος καὶ παιδοποιίας, πῶς ἂν αἱ ψυχαὶ ἐγένοντο; Πραγματεία (Γρηγ. Νύσ. ΜΔ', 188—192).

*Γάμος*. Μνήμη τῶν ἐκ τοῦ γάμου δυσχερῶν, καὶ ἔνδειξις τοῦ τὸν γεγραφότα τὸν λόγον μὴ ἄγαμον ὄντα. Πραγματεία (Γρηγ. Νύσ. ΜϚ', 325—336).

*Γάμου* καλῶν καὶ ποθητῶν περιγραφή. Οὐκοῦν βούλει ἀπὸ τῶν ἡδίστων ἀρξώμεθα; Τὸ κεφάλαιον τοίνυν τῶν ἐν τῷ γάμῳ σπουδαζομένων, τὸ κεχαρισμένης ἐπιτυχεῖν ἐστι συμβιώσεως. Καὶ δὴ ταῦθ' οὕτως ἐχέτω καὶ διὰ πάντων μακαριστὸς ὑπογεγράφθω ὁ γάμος· γένος εὐδόκιμον, πλοῦτος ἀρκῶν, ἡλικία συμβαίνουσα, τῆς ὥρας αὐτὸ τὸ ἄνθος, φίλτρον πολύ, καὶ οἷόν ἐστιν ἐν ἑκατέρῳ ὑπὲρ τοῦ ἄλλου ὑπονοεῖσθαι· γλυκεῖα ἐκείνη φιλονεικία τὸ ἑαυτὸν βούλεσθαι νικᾷν ἐν τῇ ἀγάπῃ ἑκάτερον. Προσέστω τούτοις δόξα καὶ δυναστεία καὶ περιφάνεια, καὶ πᾶν ὅ,τι βούλει. Ἀλλ' ὅρα καὶ τὴν τοῖς ἀπηριθμημένοις χρηστοῖς ἀναγκαίως συμπαροῦσαν καὶ ὑποσμύχουσαν λύπην.

Τί οὖν ἔσται τὸ λυποῦν; Ὁ φθόνος καὶ

*Γάμος*. Τὸ πρῶτον νόμος· τὸ δεύτερον συγχώρησις· τὸ τρίτον παρανομία· ὁ δὲ ὑπὲρ τοῦτο χοιρώδης κ. ἑ. Ἡ πόρνη νοθεύει τὸ γένος (Αὐτόθ. 292).

*Γάμος* καὶ παρθενία. Ὡς μακάριόν σου τὸ ὑψηλόν, εἰ καθαρότης ἦν, ἀλλὰ μὴ τύφος νομοθετῶν ὑπὲρ ἄνθρωπον, καὶ λύων τῇ ἀπογνώσει τὴν ἐπανόρθωσιν. Ὁμοίως ἐστὶ κακόν, καὶ ἄνεσις ἀσωφρόνιστος, καὶ κατάγνωσις ἀσυγχώρητος· ἡ μὲν ὅλην ἐφιεῖσα τὴν ἡνίαν, ἡ δὲ τῷ σφοδρῷ κατάγχουσα. Δεῖξόν μοι τὴν καθαρότητα, καὶ δέχομαί σου τὴν θρασύτητα. Νῦν δὲ δέδοικα, μὴ βρύων ἕλκεσιν, εἰσάγεις τὸ ἀνιάτρευτον (Αὐτόθ. ΛϚʹ, 356).

*Γάμον*, ζυγόν. Ὅσοι τὸν τοῦ γάμου ζυγὸν ἐδέξασθε φιλοσοφεῖτε ἐν ταῖς ἰδιοτροπίαις τῶν γυναικῶν, πλὴν μοιχείας (Αὐτόθ. ΛϚʹ,292).

*Γάμος* καλός, ὅταν ἐπιθυμία παίδων διαδοχῆς. Γάμου ἐπακόλουθα· χηρεία, ὀρφανία, ἄωροι θάνατοι, καὶ τὰ διάδοχα τῶν κρότων πένθη, καὶ οἱ ἐπὶ τοῖς θαλάμοις τάφοι, καὶ αἱ ἀτεκνίαι, καὶ αἱ κακοτεκνίαι, καὶ οἱ ἀτελεῖς τόκοι καὶ ἀμήτορες, καὶ πᾶσα ἡ περὶ ταῦτα κωμῳδία ἢ τραγῳδία. Ἀμφότερα γὰρ εἰπεῖν οἰκειότατον. Συμφέρει γαμῆσαι; κἀγὼ δέχομαι. Τίμιον ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. Συμφέρει δὲ τοῖς μετρίοις καὶ ἀντέχειν δυναμένοις (Αὐτόθ. ΛϚʹ, 293).

*Γάμου* σωφροσύνη, περὶ ἣν ὁρῶ τοὺς πολλοὺς κακῶς διακειμένους, καὶ τὸν νόμον αὐτῶν ἄνισον καὶ ἀνώμαλον. Τί δήποτε γὰρ τὸ μὲν θῆλυ ἐκόλασαν, τὸ δὲ ἄῤῥεν ἐπέτρεψαν (οἱ νομοθέται); Καὶ γυνὴ μὲν κακῶς βουλευομένη περὶ κοίτην ἀνδρὸς μοιχᾶται, καὶ πικρὰ ἐντεῦθεν τὰ τῶν νόμων ἐπιτίμια· ἀνὴρ δὲ καταπορνεύων γυναικός, ἀνεύθυνος; Οὐ δέχομαι ταύτην τὴν νομοθεσίαν, οὐκ ἐπαινῶ τὴν συνήθειαν. Ἄνδρες ἦσαν οἱ νομοθετοῦντες, διὰ τοῦτο κατὰ γυναικῶν ἡ νομοθεσία. Πῶς οὖν σὺ σωφροσύνην μὲν ἀπαιτεῖς, οὐκ ἀντεισφέρεις δέ; Πῶς, ὃ μὴ δίδως αἰτεῖς; Πῶς ὁμότιμον σῶμα ὤν, ἀνίσως νομοθετεῖς; (Αὐτόθ. ΛϚʹ, 289).

Μιμήσομαι Χριστόν, τὸν καθαρὸν νυμφαγωγὸν καὶ νυμφίον, ὃς καὶ θαυματουργεῖ γάμῳ, καὶ τιμᾷ συζυγίαν τῇ παρουσίᾳ. Μόνον ἔστω γάμος καθαρός, καὶ πόθοις ῥυπαροῖς ἀνεπίμικτος (Αὐτόθ. 381).

*Γάμους* ἑστιῶμεν τῆς χρυσῆς Ὀλυμπιάδος. Ἀπὼν πάρειμι καὶ συνεορτάζω, καὶ τῶν νέων τὰς δεξιὰς ἀλλήλαις τε ἐμβάλλω, καὶ ἀμφοτέρας τῇ τοῦ Θεοῦ. Καὶ νῦν δὲ τοῖς γάμοις συνεισφέρομεν τὰς εὐχάς (Αὐτόθ. ΛΖʹ, 316—317).

*Γάμος* συνάπτει τὰ γένη σὺν τῇ γνησίᾳ φιλίᾳ. Εὔχομαι ὑμῖν ἐπὶ παντὶ βελτίστῳ γενέσθαι τὴν συζυγίαν, καὶ οἵαν εἰκός, Θεοῦ συναρμόζοντος. Ἐγὼ δὲ ὑμῖν προσᾴσω τὸν ἐμὸν ἐπιθαλάμιον. Εὐλογήσαι ὑμᾶς Κύριος ἐκ Σιών, καὶ αὐτὸς ἁρμόσαι τὴν συζυγίαν, καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου, οὐ πολὺ δ' εἰπεῖν, ὅτι καὶ κρείττονας· Τοῦτο καὶ παρὼν ἐπηυξάμην ἂν ὑμῖν, καὶ νῦν ἐπεύχομαι. Τἄλλα δὲ ὑμῖν μελέτω καὶ στεφανούτω πατήρ, ὡς ηὔξατο. Τοῦτο γὰρ καὶ εἴ που γάμοις παραγεγόναμεν, ἐτυπώσαμεν· ἐκείνων μὲν εἶναι τοὺς στεφάνους, ἡμῶν δὲ τὰς εὐχάς, ἃς οἶδα μὴ τόποις ὁριζομένας (Αὐτόθ. ΛΖʹ, 373).

*Γάμος* χριστιανῶν. Ἓν τῶν καλῶν παρεῖναι Χριστὸν τοῖς γάμοις· (οὐ δὲ Χριστός, εὐκοσμία), πάντα δεῖ μεταποιεῖσθαι πρὸς τὸ βέλτιον οὕτως, ὡς μὴ τὰ ἄμικτα μίγνυσθαι, μήτε εἰς ταὐτὸν ἄγειν ἐπισκόπους καὶ γελωτοποιούς, εὐχὰς καὶ κρότους, ψαλμῳδίας καὶ συναυλίας. Δεῖ γὰρ ὥσπερ τἄλλα πάντα, οὕτω καὶ τοὺς γάμους χριστιανῶν ἔχειν τὸ εὔκοσμον· κόσμος δὲ ἡ σεμνότης. Ταῦτα δωροφοροῦμεν τῷ γάμῳ· σὺ δὲ ἡμῖν ἀντιδοίης τὴν εὐπείθειαν. Τὸν δὲ γαμβρόν, εἰ μὲν ἕπεται τούτοις, ἔχεις υἱόν· εἰ δὲ στρατιώτην (Αὐτόθ. 376).

*Γάμος* μέν ἐστιν ἔννομος σαρκῶν δέσις (Αὐτόθ. 958).

*Γάμος* συγγνώμη πάθους. Αἰνείσθω δὲ καὶ γάμος· πρὸ γάμου δ' ἀφθορία. Γάμος πατὴρ ἁγίων, ἁγνεία δὲ λατρεία. Ταύτην καὶ τότε καιροῖς ἐτίμων τοῖς εὐθέτοις. Ἀδὰμ ἐν παραδείσῳ, Μωσῆς ἐν ὄρει Σινᾶ, λειτουργῶν ὁ Ζαχαρίας ὁ πατὴρ τοῦ Προδρόμου (Αὐτόθ. ΛΖʹ, 634 κ. ἑ.).

*Καλὸν* γάμῳ δεδέσθαι, σωφρόνως μόνον, πλεῖον νέμοντα τῷ Θεῷ συσσαρκίας (Αὐτόθ. 643). Ὁ τὸν γάμον φυλάσσων, ἴσος ἐγκρατεῖ γενέσθω (Αὐτόθ. 648). Τὰ ἐν τῷ γάμῳ προσάντη καὶ θλιβερὰ (Αὐτόθ. 569. 541. 545. 543).

*Γάμος* ἐστὶ χαλινὸς ἀμέτρου ὕλης. Πότε ἀναγκαῖος τῷ κόσμῳ ἐγένετο (Αὐτόθ. 530—531). Ἔπαινος καὶ ἐλαττώματα γάμου (Αὐτόθ. 650. 652).

*Γάμος* δὲ οὐκ ἂν κληθείη τὸ δι' αἰσχρότητος τὴν σύστασιν ἔχον· λύει τοιγαροῦν γαμικὸν θεσμὸν ἡ τοιῷσδε κεχρημένη γυνή (Κοσμ. Ἱεροσ. ΛΗ', 520).

*Γάμος*. Τὸν ἐπ' ἀλλήλοις πόθον, τοῦ τε ἀνδρὸς φημὶ καὶ τῆς γυναικός, φυσικῶς ἐντεθεῖσθαι ἀρχῆθεν ὑπὸ τοῦ δημιουργοῦ τοιοῦτον, ὥστε καὶ μὴ βουλομένοις αὐτοῖς, ὅμως ἐξ ἐμφύτου κινήσεως, ἀλλεπαλλήλοις ἐπείγεσθαι· οὐκ ἐπὶ πᾶσι δέ, οὔτε πρὸς ἑκάστην τῶν θηλυτέρων τοῦ ἀνδρὸς εἶναι τὴν ἔφεσιν· οὐδὲ πάλιν τῆς γυναικὸς ἐπὶ πᾶσι τοῖς ἄῤῥεσιν ὁροθέσιον θέμενος, ὅπερ ἐστὶν κατὰ συζυγίαν, τὸν κτηνώδη κατ'ἀγέλην ὧδε τρόπον ἀποτρέπει. Καὶ τοῖς μὲν ἄλλοις κτήνεσιν ἀφραδέουσιν ἐπαλλήλοις τὸ μαίνεσθαι παρέσχεν ἡ φύσις ἀγεληδόν· ἀνθρώποις δὲ κατὰ συζυγίαν· καίτοι φυσικῶς ὁ πόθος ἐγκείμενος ὁροθετεῖται· καὶ τὸ μὲν φέρεσθαι πρὸς συνουσίαν φυσικῶς ἔγκειται πᾶσι· τὸ δὲ μὴ κεχρῆσθαι ταῖς ὁρμαῖς, ἀλλ' ἐγκρατεῖν φύσεως καὶ βιάζεσθαι, μόνης ἐστὶν ἀρετῆς, καὶ τῶν ὑπὲρ φύσιν πολιτευομένων (Κοσμᾶς αὐτόθ. 633—634). Οἱ γάμῳ προσομιλοῦντες χελῶνι ἐοίκασι, βαδίζουσι μὲν ἐθέλοντες πρὸς Θεόν, νωθρότερον δὲ τὸ περικεῖσθαι τὴν γαμήλιον ἀχθηδόνα (Αὐτόθ. 635).

*Γάμου* ὀργασμὸς ἐν ἐπιτηδείῳ καιρῷ πᾶσι τοῖς ἀερίοις καὶ ἐναλίοις καὶ ἐπιγείοις τῆς πρὸς ἀλλήλους μίξεως, πλὴν ἀνδρὸς καὶ γυναικός· διότι μόνη ἡ γυνή, καὶ μετὰ τὴν σύλληψιν οὐ παραιτεῖται τοῦ ἀνδρός· διὰ τί; (Αὐτόθ. 641—642).

*Γάμος* καὶ ἀγαμία ἐπίμικτα (Αὐτόθ. 769. 784). Πῶς ἐν ἀνομίαις συλλαμβάνεται ἄνθρωπος; Πῶς ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ με ἡ μήτηρ μου; (Αὐτόθ. 1104—1105).

*Γάμος* παράνομος. Ἔχεις τὴν θύραν τοῦ τοῦ νόμου, φύγε τὴν παράθυρον τῆς ἀνομίας. Ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας, ἀλλ' ἐμβαίνων ἀλλαχόθεν, κλέπτης ἐστὶ καὶ λῃστής, ὡς λανθάνων ἐν τῷ πορνεύειν· λῃστής, ὡς διορύττων ἀλλότριον γάμον. Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας τοῦ γάμου, πατήρ ἐστι τῶν γνησίων τέκνων (Ἀστέρ. Ἀμασ. Μ', 444).

*Γάμος*. Ἀκούσατε νῦν οἱ κάπηλοι τῶν γάμων, καὶ τὰς γυναῖκας ὡς ἱμάτια εὐκόλως μετενδυόμενοι· οἱ τὰς παστάδας πολλάκις καὶ ῥᾳδίως πηγνύντες ὡς πανηγύρεως ἐργαστήρια· οἱ τὰς εὐπορίας γαμοῦντες, καὶ τὰς γυναῖκας ἐμπορευόμενοι· οἱ μικρὸν παροξυνόμενοι, καὶ εὐθὺς τὸ βιβλίον τῆς διαιρέσεως γράφοντες· κ. ἑ. (Ὁ αὐτ. Ὁμιλ. «Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν». Μ', 225—240).

Αἱ γὰρ πλείους τῶν αἱρέσεων τούτων (τῶν Μοντανιστῶν), τοῦ γαμεῖν κωλύουσιν· ἀπέχεσθαι βρωμάτων παραγγέλλουσιν, οὐχ ἕνεκεν πολιτείας προτρεπόμενοι, οὐχ ἕνεκεν ἀρετῆς μείζονος, καὶ βραβείων καὶ στεφάνων, ἀλλὰ βδελυκτὰ τὰ ὑπὸ τοῦ Κυρίου γεγενημένα ἡγούμενοι.

Ἡ δὲ ἁγία Ἐκκλησία καὶ παρθενίαν δοξάζει, καὶ μονότητα, καὶ ἁγνείαν, καὶ χηροσύνην ἐπαινεῖ, καὶ γάμον σεμνὸν τιμᾷ καὶ δέχεται. Πορνείαν δέ, καὶ μοιχείαν, καὶ ἀσέλγειαν ἀπαγορεύει (Ἐπιφάν. ΜΑ', 868). Περὶ α', καὶ β', γάμου (Ὁ αὐτὸς ΜΒ', 824).

*Γάμου* μὴ ὄντος καὶ παιδοποιίας, πῶς ἂν αἱ ψυχαὶ ἐγένοντο; Πραγματεία (Γρηγ. Νύσ. ΜΔ', 188—192).

*Γάμος*. Μνήμη τῶν ἐκ τοῦ γάμου δυσχερῶν, καὶ ἔνδειξις τοῦ τὸν γεγραφότα τὸν λόγον μὴ ἄγαμον ὄντα. Πραγματεία (Γρηγ. Νύσ. ΜϚ', 325—336).

*Γάμου* καλῶν καὶ ποθητῶν περιγραφή. Οὐκοῦν βούλει ἀπὸ τῶν ἡδίστων ἀρξώμεθα; Τὸ κεφάλαιον τοίνυν τῶν ἐν τῷ γάμῳ σπουδαζομένων, τὸ κεχαρισμένης ἐπιτυχεῖν ἐστι συμβιώσεως Καὶ δὴ ταῦθ' οὕτως ἐχέτω καὶ διὰ πάντων μακαριστὸς ὑπογεγράφθω ὁ γάμος· γένος εὐδόκιμον, πλοῦτος ἀρκῶν, ἡλικία συμβαίνουσα, τῆς ὥρας αὐτὸ τὸ ἄνθος, φίλτρον πολύ, καὶ οἷόν ἐστιν ἐν ἑκατέρῳ ὑπὲρ τοῦ ἄλλου ὑπονοεῖσθαι· γλυκεῖα ἐκείνη φιλονεικία τὸ ἑαυτὸν βούλεσθαι νικᾶν ἐν τῇ ἀγάπῃ ἑκάτερον. Προσέστω τούτοις δόξα καὶ δυναστεία καὶ περιφάνεια, καὶ πᾶν ὅ,τι βούλει. Ἀλλ' ὅρα καὶ τὴν τοῖς ἀπηριθμημένοις χρηστοῖς ἀναγκαίως συμπαροῦσαν καὶ ὑποσμύχουσαν λύπην.

Τί οὖν ἔσται τὸ λυποῦν; Ὁ φθόνος καὶ

ἡ ἐπιβουλὴ τοῖς δοκοῦσιν εὐδοκιμεῖν ἐν τῷ βίῳ. Τὸ θνητὸν καὶ ἐπίκηρον, καὶ οἱ τάφοι τῶν ἀφ' ὧν γεγόνασιν. Ἡ διηνεκὴς τοῦ θανάτου προσδοκία. Ὅταν ἴδῃ ὁ νυμφίος τὸ ἀγαπώμενον πρόσωπον, εὐθὺς πάντως καὶ ὁ φόβος τοῦ χωρισμοῦ συνεισέρχεται. κ. ἑ. Τὰ δὲ ἐπὶ τούτοις οἷα; Πορθεῖται μὲν ὑπὸ τῶν οἰκείων ὡς ὑπὸ πολεμίων ὁ θάλαμος· καλλωπίζεται δὲ ἀντὶ τοῦ θαλάμου διὰ τοῦ τάφου ὁ θάνατος· ἀνακλήσεις ἐπὶ τούτων ἀνόνητοι, καὶ μάταιοι χειρῶν κρότοι· ἀναμνήσεις τοῦ προτέρου βίου, κατάραι κατὰ τῶν συμβουλευσάντων τὸν γάμον, μέμψεις κατὰ τῶν μὴ κωλυσάντων φίλων· ἐν αἰτίᾳ πολλῇ οἱ γονεῖς, ἄν τε περιόντες τύχωσιν, ἄν τε καὶ μή· ἀγανάκτησις κατὰ τῆς ἀνθρωπίνης ζωῆς, κατηγορία πάσης τῆς φύσεως, καὶ αὐτῆς τῆς θείας οἰκονομίας μέμψεις πολλαὶ καὶ ἐγκλήματα, μάχη πρὸς ἑαυτόν, πόλεμος κατὰ τῶν νουθετούντων· οὐδεὶς τῶν ἀτοπωτάτων ὄκνος, οὔτε ῥημάτων οὔτε πραγμάτων. Δάκρυα, πένθος, αὐτοχειρία πολλάκις. κτλ. κτλ. ἐν τῇ περιγραφῇ τῶν ἐκ τοῦ γάμου λυπηρῶν (Ὁ αὐτ. Γρηγ. Νύσ. ΜϚ', 325—336).

Ὅτι πάντα τὰ κατὰ τὸν βίον ἄτοπα, τὴν ἀρχὴν ἀπὸ τοῦ γάμου ἔχει. Πραγματεία (Αὐτόθ. 337—348).

Ὅτι οὐδὲ ὁ γάμος τῶν κατεγνωσμένων ἐστίν. Πραγματεία (Αὐτόθ. 353—357).

## Ἐκ τῶν τοῦ Χρυσοστόμου.

*Περιγραφὴ τῶν τοῦ γάμου δεινῶν.*

Εἴπω βούλει καὶ τὰς οἴκοι φροντίδας τὰς τῆς γυναικός, τὰς τῶν παίδων, τὰς τῶν οἰκετῶν; Δεινὸν πενεστέραν λαβεῖν γυναῖκα· δεινὸν εὐπορωτέραν· τὸ μὲν γὰρ εἰς τὴν οὐσίαν ἔβλαψε, τὸ δὲ εἰς αὐθεντίαν καὶ ἐλευθερίαν τὸν ἄνδρα. Ἀλγεινὸν κτήσασθαι παῖδας· ἀλγεινότερον μὴ κτήσασθαι. Ἠῤῥώστησε τὸ παιδίον, φόβος οὐ μικρός· ἀπῆλθεν ἄωρον, πένθος ἀπαραμύθητον· καὶ καθ' ἑκάστην ἡλικίαν διάφοροι φροντίδες ὑπὲρ αὐτῶν, καὶ φόβοι καὶ πόνοι πολλοί. Τί δὲ λέγειν τὰς τῶν οἰκετῶν μοχθηρίας; κ. ἑ. (Χρυσόστ. ΜΖ', 314).

*Γάμος* προτιμότερός ἐστι τῆς κακῶς τηρουμένης παρθενίας (ΜΖ', 519). Οὐ ψεκτὸς ὁ γάμος, οὐδὲ κώλυμα καὶ ἐμπόδισμα εἰς ἀρετὴν τὸ γυναῖκα ἔχειν καὶ παῖδας τρέφειν, καὶ οἰκίας προΐστασθαι, καὶ τέχνην μεταχειρίζειν (Ὁ αὐτ. ΝΑ', 190).

*Γάμος*. Καὶ γὰρ οὐ τὸ τυχὸν πρᾶγμα γάμος εὖ διακείμενος, ὥσπερ οὖν μυρίων συμφορῶν ὑπόθεσις γίνεται τοῖς οὐκ εἰς δέον αὐτῷ χρωμένοις. Ὥσπερ γὰρ βοηθός ἐστιν ἡ γυνή, οὕτω πολλάκις καὶ ἐπίβουλος γίνεται. Ὥσπερ οὖν λιμήν ἐστιν ὁ γάμος, οὕτω καὶ ναυάγιον, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην τῶν κακῶς αὐτῷ χρησαμένων. κ. ἑ. (ΝΑ', 217).

*Γάμος*. Περὶ τοῦ ποίας ἄγεσθαι δεῖ γυναῖκας (ΝΑ', 225—240). Γάμος διὰ τί ἱδρύθη; Τίς ἡ τοῦ γάμου αἰτία, καὶ τίνος ἕνεκεν εἰς τὸν βίον ἐπενήνεκται τὸν ἡμέτερον (Αὐτόθ. 232). Ὅτι οὐ χρὴ ζητεῖν πλουτεῖν ἐκ τοῦ γάμου, καὶ χρήματα μόνον σκοπεῖν, ἀλλὰ τρόπον καὶ χρηστὰ ἤθη (Αὐτόθ. 230—233). Μέγας ἡμῖν βοηθὸς ἐν τῷ βίῳ ἡ γυνή (Αὐτόθ. 281). Εὔπορον λαβὼν γυναῖκα, δέσποιναν μᾶλλον ἔλαβεν ἢ γυναῖκα (Αὐτόθ. 231—232). Ἵνα φεύγωμεν τὴν πορνείαν συνέστη ὁ γάμος (Αὐτόθ.) Καθήκοντα τοῦ γάμου, καὶ ἀνὴρ δεικνύων τὴν ἑαυτοῦ ἀρετὴν πρὸς ὕποπτον σύζυγον (ΝΓ', 335—337).

Τυραννίς ἐστιν ὁ γάμος. Ὅτι μετὰ τὸν γάμον ὁ ἀνὴρ καὶ ἡ γυνὴ οὐκ εἰσὶ κύριοι ἑαυτῶν οὐδὲ ἐλεύθεροι. Ὁ ἀνὴρ κἂν τὴν ἁπάντων ἀργαλεωτέραν ἔχῃ γυναῖκα, στέργειν ἀναγκάζεται τὴν δουλείαν, καὶ λύσιν οὐδεμίαν οὐδὲ διέξοδον ταύτης δύναται τῆς δεσποτείας εὑρεῖν· ἀλλὰ καὶ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει (ΜΗ', 551—553).

Ἀκάθαρτος οὐκ ἔστιν ὁ γάμος. Τίμιος ὁ γάμος, καὶ ἀμίαντος ἡ κοίτη. Οὐ κωλύω γαμεῖν τὸν βουλόμενον (Αὐτόθ. 538—596). Ἀναγκαῖος οὐκ ἂν ἦν ὁ γάμος, εἰμὴ ὁ Ἀδὰμ ἥμαρτεν (Αὐτόθ. 543—547). Θεοῦ νομοθετοῦντος ὁ γάμος ἱδρύθη (ΜΖ', 495 κ. ἑ.).

Τιμίου ὄντος τοῦ γάμου, πῶς ἐν ἡμέραις νηστείας καὶ προσευχῆς ἀπέχομεν· καὶ τί περὶ τούτου ὁ Παῦλος νομοθετεῖ (ΜΗ', 553—554). Δύο αἰτίαι τοῦ γάμου ἦσαν τὸ πάλαι, νῦν δὲ μία (Αὐτόθ. 446—547). Αἱ τοῦ γάμου δυσκολίαι βραβεῖον οὐκ ἔχουσι, πῶς καὶ διὰ τί. (Αὐτόθ. 567). Καὶ ὁ εὐτυχὴς

γάμος οὐδὲν ἔχει μέγα. Δουλεία αὐτοῦ, δυσχέρειαι αὐτοῦ (Αὐτόθ. 562—596). Ἀναγκαῖον ὁ γάμος τοῖς μὴ στερεοῖς (Αὐτόθ. 550).

Εἰ ὁ γάμος τίμιον, καὶ ἡ ἐπανάληψις τίμιον. Ἀνασκευὴ τοῦ σοφίσματος τούτου (ΜΗ', 612 κ. ἑ. 609—620).

Καλὸν ὁ γάμος ἐστίν. Οἱ δίκαιοι, οἱ προφῆται καὶ οἱ ἀπόστολοι γυναῖκας εἶχον (ΝϚ', 122—123) Ἀχώριστος ἦν ὁ γάμος ἐξ ἀρχῆς· καὶ περὶ βιβλίου ἀποστασίου (διαζυγίου) (ΝΑ', 220). Διὰ τί ἐπετράπη ὁ γάμος; ἵνα μὴ πέρα τῶν οἰκείων ὅρων προβαίνῃς. κ. ἑ. (ΝΕ', 181). Γάμος, κατὰ Χριστόν, ποῖός ἐστιν (ΞΒ', 141 κ. ἑ.).

*Γέλως* κόσμιος μειδίαμα. Γέλως ἀνειμένος ἐπὶ μὲν γυναικῶν κιχλιασμὸς ἢ κιχλισμὸς προσαγορεύεται· ἐπὶ δὲ ἀνδρῶν καγχασμός (Αὐτόθ. Η', 448-449). Ὅθεν κιχλίζουσι μὲν γυναῖκες, καχλάζουσι δὲ ἄνδρες (Σχόλ. Θ', 789).

*Γέλως*. Ὅτι δεῖ καὶ γέλωτος ἐγκρατῶς ἔχειν, μετὰ γραφικῶν χωρίων (Βασίλ. ΛΑ', 961-965). Οὐκ ἀπρεπὲς δὲ ἄχρι μειδιάματος φαιδροῦ τὴν διάχυσιν τῆς ψυχῆς ὑπεμφαίνειν (Αὐτόθ.).

*Γέλως*. Εἰ τύπος ἱερεὺς τοῦ ποιμνίου καὶ φῶς τῆς Ἐκκλησίας ὠνομάσθη, καὶ ὑπάρχει, ἀνάγκη φεύγειν τὸν γέλωτα καὶ τὴν εὐτραπελίαν· κ. ἑ. (Ἰσίδ. ΟΗ', 368).

*Γέλως*, παρειᾶς βράσμα, παλμὸς καρδίας (Γρηγ. Ναζ. ΛΖ', 953).

*Γέλως* γέλωτος εὖ φρονοῦσιν ἄξιος (ΛΗ', 805).

*Γέλως* ἄκαιρος, καὶ ποῖα τὰ τούτου ἐπακόλουθα. Τὸ γελᾶν καὶ ἀστεῖα λέγειν οὐ δοκεῖ μὲν ὡμολογημένον ἁμάρτημα εἶναι, ἄγει δὲ εἰς ὡμολογημένον ἁμάρτημα· κ. ἑ· (Χρυσόστ. ΜΘ', 158).

*Γέλως*. Τὸ γέλωτι ἀκρατεῖ κεχρῆσθαι καὶ ἀσχέτῳ ἀκρασίας σημεῖον. κ. ἑ. (Βασίλ. παρ' Ἀναστ. Σιν. ΠΗ', 820).

*Γέλως*. Περὶ γέλωτος μετὰ γραφικῶν χωρίων πατέρων καὶ τῶν θύραθεν (Μάξιμ. ὁ Ὁμολ. ϞΑ', 996-997).

**Γέλωτος** ἀμετρία, καὶ θεῶν γέλωτες ἐπὶ Ἡφαίστῳ χωλεύοντι (Νόν. ΛϚ', 1036).

**Γελωτοποιοί.** Ὅτι ὁ Ἀνάχαρσις ἐν συμποσίῳ γελωτοποιῶν εἰσαχθέντων ἀγέλαστος διέμεινε· πιθήκου δὲ ἐπεισαχθέντος ἐγέλασεν εἰπών, τοῦτο μὲν φύσει γελοῖον εἶναι ζῶον, ἄνθρωπον δὲ ἐπιτετηδεῦσθαι (Λ. Εὐς.).

*Γελωτοποιοὶ* καὶ γελοιασταί. Τί ὠφελεῖ ἀστεῖον εἰπεῖν; Γέλωτα ἐκίνησας μόνον· κ. ἑ. (Χρυσόστ. ΞΒ', 118 κ. ἑ.)

**Γέμελλος.** Ἐπιστολαὶ Χρυσοστόμου πρὸς αὐτόν (ΝΒ', 650. 678. 690. 720).

**Γεμῖνος.** Εἰσαγωγὴ αὐτοῦ εἰς τὰ Φαινόμενα (Εὐσέβ. ΙΘ', 748-868).

**Γεμιστὸς** Γεώργιος (ΡΞ',).

*Γεμιστοῦ* υἱοί (ΡΞ'.)

**Γενεαὶ** ἀπὸ Ἀδὰμ μέχρι Χριστοῦ συμφωνοῦσαι τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ (Χρονικ. Πασχάλιον ϞΒ', 588).

**Γενεά,** τριάκοντα ἐτῶν περίοδος· καὶ ὅτι γενεὰ οὐ μόνον ἐπὶ ἀνθρώπων, ἀλλὰ καὶ φύλλων καὶ ἵππων καὶ ὀρνέων καὶ ἄλλων τινῶν παρ' Ὁμήρῳ λέγεται. Γενεᾷ προγενέστερος, ἤγουν πρότερος τῇ γενέσει (Λ. Εὐστ.).

*Γενεὰ* πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ ἕστηκεν εἰς τὸν αἰῶνα (Ἐκκλ. Α', 4). Πρὸς τίνα σκοπὸν ἀποβλέπει; (Φώτ. ΡΑ', 425-429).

*Γενεὰν* γὰρ χρόνον ἀνθρώπου ζωῆς οὐχ οἷόν τέ ἐστιν ὀνομάζειν, ἐπεὶ συμβαίνει πολλάκις τοὺς μὲν ἐπὶ βραχὺ βιῶναι· κ. ἑ. (Εὐσέβ. αὐτόθ. 924).

Διὰ τί τῶν μετὰ Ἰεχονίαν ἐπὶ τὸν Ἰωσὴφ γενεαλογουμένων δύο καὶ δέκα ὄντων, ὁ Εὐαγγελιστὴς δεκατέσσαρας πάλιν εἶναί φησιν; διὰ τὴν αὐτὴν αἰτίαν· κ. ἑ. (Εὐσέβ. αὐτόθ. 925 κ. ἑ.).

*Γενεά*. Μόνον τὴν τοῦ Χριστοῦ γενεὰν οὐδεὶς διηγήσεται (Ἀθαν. ΚΕ'. 160).

*Γενεαὶ* δεκατέσσαρες. Πῶς δεκατέσσαρες, δώδεκα προσώπων κειμένων; Οἶμαι, ὅτι καὶ τὴν μετοικεσίαν αὐτὴν ἀντὶ προσώπου ὁ

Εὐαγγελιστὴς τέθεικε· καὶ ἀντὶ τῆς ἑτέρας τὸν Χριστόν (Ἀθαν. ΚΖ΄, 1364).

*Γενεαί*. Περὶ τῶν ἐν τῷ Ἱερῷ Εὐαγγελίῳ γενεῶν τοῦ Ματθαίου (Χρυσόστομ. ΝΗ΄, 793).

*Γενεαί*. Διὰ τί ἀπὸ τῶν Δαβὶδ χρόνων ἐπὶ Ἰεχονίαν καὶ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν ἑπτὰ καὶ δέκα βασιλευσάντων, δεκατέσσαρας εἶναί φησι γενεὰς ὁ Εὐαγγελιστής; Ἑρμηνεία (Εὐσέβ. ΚΒ΄, 921-924).

**Γενεαλογία.** Περὶ τῆς ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις γενεαλογίας (Ἰούλιος Ἀφρικ. Ι΄, 52-64.—Εὐσέβ. ΚΒ΄, 900).

*Γενεαλογία*. Οὐχ ὁμοίως ὑπὸ τῶν εὐαγγελιστῶν γενεαλογεῖται ὁ Κύριος· ὅπερ ἐτάραξε πολλοὺς τῶν ἐντυγχανόντων τῇ Γραφῇ· κ. ἑ. (Ὠριγ. ΙΓ΄, 1871 σημ.).

*Γενεαλογία* Χριστοῦ καὶ περὶ τῆς ἐν τοῖς Εὐαγγελίοις νομιζομένης διαφωνίας (Εὐσέβ. Κ΄, 89-100).

*Γενεαλογία*. Περὶ τῶν πρὸς γένους τοῦ Σωτῆρος ἡμῶν (Εὐσέβ. Κ΄, 252).

*Γενεαλογία* Ἰωσὴφ τοῦ μνήστορος, καὶ διὰ τί οὐχὶ τῆς Μαρίας (Εὐσέβ. ΚΒ΄, 880—892).

*Γενεαλογία* Χριστοῦ ἀπὸ Ἀδάμ, Ἀβραάμ, καὶ Δαβὶδ καὶ Σολομῶντος διὰ τί (Εὐσέβ. ΚΒ΄, 892-936).

Περὶ Γενεαλογίας Χριστοῦ ἐκ γενεᾶς βασιλικῆς καὶ ἱερατικῆς. Καὶ πῶς καὶ πότε ἡ βασιλικὴ καὶ ἡ ἱερατικὴ φυλὴ ἦλθον εἰς συνάφειαν (Κοσμ. Ἱεροσολ. ΛΗ΄, 444—445). Συμφωνία γενεαλογιῶν τῶν εὐαγγελιστῶν Ματθαίου καὶ Λουκᾶ (Αὐτόθ. 445-446).

*Γενεαλογία* Ἰωσήφ, διὰ τί μὴ ἐκ τῆς Θεοτόκου; (Χρυσόστ. ΝΖ΄, 32· κ. ἑ. 39-54).

*Γενεαλογία* Χριστοῦ, εἰς ποίημα (Γρηγ. Ναζ. ΛΖ΄, 480-487).

*Γενεαλογία* τοῦ Κυρίου, καὶ περὶ τῆς ἁγίας Θεοτόκου (Ἰωάν. Δαμασκ. ϞΔ΄, 1153-1168).

*Γενεαλογία* Θεοδοσίου, Ἀρκαδίου, Ὀνωρίου, μικροῦ Θεοδοσίου, καὶ μικροῦ Οὐαλεντινιανοῦ (Προκόπ. Ἱστορ. τόμ. Α΄, σελ. 320. ἔκδ. Βόν.).

**Γενειάτις** τρίγλη, εἶδος τρίγλης οὕτω καλούμενον, παρὰ τὸ γένειον ἔχειν (Λεξ. Εὐστ.).

**Γενέθλια.** Λόγος εἰς τὰ Γενέθλια τοῦ Σωτῆρος εἴτουν τὰ Θεοφάνια (Γρηγ. Ναζ. ΛϚ΄, 312-334).

*Γενέθλια* καὶ γενέσια ἐπὶ ζώντων καὶ τεθνεώτων τελούμενα (Κοσμ. Ἱερ. ΛΗ΄, 412).

*Γενέθλια*. Λόγος εἰς τὰ Γενέθλια τοῦ Κυρίου ἡμῶν (Ἀμφιλόχ. Ἰκον. ΛΘ΄, 36· κ. ε.).

*Γενέθλια* καὶ γενέθλιον. Εἰς τὰ Γενέθλια τοῦ Σωτῆρος λόγος (Χρυσόσ. ΝϚ΄, 385-394).

*Γενέθλια*. Δοχὴ ἐπὶ τοῖς γενεθλίοις. Ἐπὶ μὲν ζῶσιν, κατὰ τὴν ἡμέραν τῆς γεννήσεως· ἐπὶ δὲ θανοῦσι, κατὰ τὴν ἡμέραν τῆς τελευτῆς. Καὶ ἀπογαλακτισμοῦ γενέθλια (Προκ. Γαζ. ΠΖ΄, 384).

**Γενεθλιαλογία.** Ἀλλ' οἱ ὑπὲρ τὰ ἐσκαμμένα πηδῶντες, ἐπὶ τὴν συνηγορίαν τῆς γενεθλιαλογίας τὸν λόγον ἕλκουσι, καὶ λέγουσι προσηρτῆσθαι τὴν ἡμετέραν ζωὴν τῇ κινήσει τῶν οὐρανίων· καὶ διὰ τοῦτο ἐκ τῶν ἄστρων γίνεσθαι παρὰ τῶν Χαλδαίων τὰς σημειώσεις τῶν περὶ ἡμᾶς συμπτωμάτων (Βασίλ. ΚΘ΄, 128). Τί φρονοῦσι, πῶς εὑρίσκουσι τὰ ζητούμενα, τίσι χρῶνται ὑποδιαιρέσεσι καὶ σημείοις, καὶ πόθεν τὸν περὶ τούτου ἕλκουσι λόγον (Αὐτόθ. 128). Τί ἕκαστον τῶν ζῳδίων σημαίνει, καὶ ὁποῖος ὁ κατ' αὐτὸ γεννηθείς (Αὐτόθ. 129).

*Γενεθλιαλογία* καὶ Διοσημεῖα, ὡς ἀπόβλητα τῆς τοῦ Θεοῦ Ἐκκλησίας ἡ ἡμετέρα ἀποτρέπεται βασιλεία (Λέων αὐτοκράτωρ ἐν τοῖς προλεγομένοις Ἰωάν. Λυδοῦ ἔκδ. Βόν. σελ. xvii).

**Γενέθλιον** καὶ γενέσιον. Εἰς τὸ γενέθλιον τῆς Θεοτόκου λόγοι τέσσαρες (Ἀνδρ. Κρήτης ϞΖ΄, 805-881).

**Γενέθλιος** πρεσβύτερος. Ἐπιστολὴ Βασιλείου πρὸς αὐτόν (ΛΒ΄, 833-840).

*Γενέθλιος* ἡμέρα τοῦ Σωτῆρος διὰ τί οὐ καλεῖται Θεοφάνεια ἢ Ἐπιφάνεια (Χρυσόσ. ΜΘ΄, 365). Ἡ γενέθλιος τοῦ Σωτῆρος ἡμέρα τῇ 25 Δεκεμβρίου ἑωρτάζετο πρὸ δέκα περίπου ἐτῶν πρὶν ὁ Χρυσόστομος ἐκφωνήσῃ ἐν Ἀντιοχείᾳ ὁμιλίαν εἰς αὐτήν (ΜΘ΄, 351-362). Τὸ ἔθος τοῦτο ἐκ τῆς Δύσεως παρέλαβον οἱ πατέρες (Αὐτόθ.). Ἀπὸ Θρᾴκης μέχρι Γαδείρων ἐτηρεῖτο (Αὐτόθ. 352). Τρισὶν ἀποδείξεσι δείκνυται ἀληθὴ εἶναι τὴν ἡμέραν τῆς τοῦ Σωτῆρος γεννήσεως (Αὐτόθ. 351). Τὴν Γενέθλιον ἡμέραν τοῦ Σωτῆρος

οὐκ ἄν τις ἁμάρτοι μητρόπολιν πασῶν τῶν ἑορτῶν ταύτην προσειπών (Χρυσόστ. ΜΗ΄, 752). Ἀπὸ ταύτης τὰ Θεοφάνια, καὶ τὸ Πάσχα τὸ ἱερόν, καὶ ἡ Ἀνάληψις, καὶ ἡ Πεντηκοστὴ τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν ἔλαβον (Αὐτόθ.).

*Γενέθλιος* ἡμέρα τοῦ Σωτῆρος παρά τισι τὸν Μάϊον ἑωρτάζετο μῆνα (Κλήμ. Ἀλεξ. Η΄, 884, 888). Παρ' ἄλλοις ἑωρτάζετο τῇ ἕκτῃ Ἰανουαρίου (Παῦλος Ἐμίσης ΟΖ΄, 1433—1437.—Χρυσόστ. ΜΘ΄, 351. ΞΓ΄, 821).

Διὰ τί Ἐπιφάνεια τὰ Γενέθλια τοῦ Σωτῆρος· καὶ τίνες αἱ δύο Ἐπιφάνειαι αὐτοῦ (Χρυσόστ. ΜΘ΄, 363-365· κ. ἑ.

*Γενέθλιος* ἡμέρα καὶ Ἐπιφάνεια (Χρυσ. αὐτόθ. 363-365· κ. ἑ.). Γεννηθέντος αὐτοῦ περὶ τὸν Ἰανουάριον μῆνα, ἤτοι πέμπτῃ τοῦ αὐτοῦ· κ.ἑ. (Ἐπιφ. ΜΑ΄, 932.—Αὐτόθ. 920).

*Γενέθλιος* ἡμέρα τοῦ Σωτῆρος ἐτελεῖτο τῇ 25 Δεκεμβρίου. Διαταγ. Ἀποστ. Α΄, 857-872).

Τὴν τῶν γενεθλίων ἑορτὴν ἀργείτωσαν διὰ τὰ ἐν αὐτῇ· κ. ἑ. (Αὐτόθ. Α΄, 1133).

Ἐπεὶ δὲ ἡ τῶν Χριστοῦ γενεθλίων ἐνίστατο ἑορτή, καὶ σύμπαν τὸ χριστώνυμον κ. ἑ. (Νικηφ. βιβλ. Ζ΄, ς΄. ΡΜΕ΄, 1216).

*Γενέθλιος* ἡμέρα ἑωρτάζετο ὅπως καὶ ἡ Κυριακή (Χρυσ. ΜΗ΄, 744.

*Γενέθλια* αὐτοκρατόρων. Σωζόμ. ΞΖ΄, 1265· κ. ἑ.

**Γένει** ἐπαμφοτερίζοντα ὀνόματα ὑπὸ τῇ αὐτῇ φωνῇ ἀρσενικῶς τε καὶ οὐδετέρως κλινόμενα, οἷον ὁ τάριχος καὶ τὸ τάριχος· ὁ σκότος καὶ τὸ σκότος. ὁ ὄνειδος καὶ τὸ ὄνειδος· τὸ χρεῖος καὶ ὁ χρεῖος· ἡ νείκη καὶ τὸ νεῖκος· ἡ δίψα καὶ τὸ δίψος· ἡ βλάβη καὶ τὸ βλάβος· ἔτι δὲ ἡ τρίβος καὶ ὁ τρίβος (Παρεκβολ. Εὐσταθ. εἰς Ὁμ. Ἰλιάδ. τόμ. Α΄, σελ. 63).

**Γένεια** αἱ τρίχες· γένειον δὲ ὁ τόπος καθ' ὃν αἱ τρίχες (Λ. Εὐστ.).

**Γενειάδες** αἱ περὶ τὸ γένειον τρίχες.

**Γενειάς.** Ἰησοῦς καθαίρεται, καὶ σὺ καταφρονεῖς τῆς καθάρσεως; Ὑπὸ Ἰωάννου· καὶ σὺ κατεξανίστασαι τοῦ σοῦ κήρυκος; Τριακονταέτης ὤν· καὶ σὺ πρὸ τῆς γενειάδος διδάσκεις τοὺς γέροντας; ἢ τὸ διδάσκειν πιστεύεις, οὔτε παρὰ τῆς ἡλικίας, οὔτε παρὰ τοῦ τρόπου τυχὸν ἔχων τὸ αἰδέσιμον; Εἶτα ὁ Δανιὴλ ἐνταῦθα, καὶ ὁ δεῖνα, νέοι κριταί. Πᾶς γὰρ ἀδικῶν εἰς ἀπολογίαν ἕτοιμος. Ἀλλ' οὐ νόμος Ἐκκλησίας τὸ σπάνιον· εἴπερ μηδὲ μία χελιδὼν ἔαρ ποιεῖ, μηδὲ γραμμὴ μία τὸν γεωμέτρην, ἢ πλοῦς εἷς τὸν θαλάττιον (Γρηγ. Ναζ. ΛϚ΄, 352).

**Γένειον.** Περὶ γενείου καὶ κουρᾶς αὐτοῦ. Οὐ μέν τοι παντελῶς ψιλωτέον τὸ γένειον· αἰσχρὸν γὰρ τὸ θέαμα· καὶ κατέγνωσται ἡ τοῦ γενείου ἐν χρῷ κουρά· κ. ἑ. (Κλήμ. Ἀλεξ. Η΄, 633-640).

*Γένειον* βαθὺ ἔτρεφον οἱ ἔξω φιλόσοφοι (Χρυσόστ. ΜΘ΄, 173). Χρυσῆν γενειάδα εἶχεν ὁ τῶν Περσῶν βασιλεὺς ἐπὶ Χρυσοστόμου (ΞΒ΄, 350).

*Γένειον.* Τὸ δὲ χεῖρον καὶ ἐναντίον τὸ γένειον τὴν μορφὴν τοῦ ἀνδρὸς ἀποτέμνουσι. Καὶ περὶ μὲν τοῦ γενείου ἐν ταῖς Διατάξεσι τῶν Ἀποστόλων φάσκει ὁ θεῖος λόγος καὶ ἡ διδασκαλία μὴ φθείρειν, τουτέστι μὴ τέμνειν τρίχας γενείου (Ἐπιφάν. ΜΒ΄, 765—768.—Διαταγ. Ἀποστόλ. Α΄, 564-568).

*Γένειον*, λέγεται καὶ πώγων καὶ ὑπήνη· πώγων μὲν ὅτι πῆξιν ἡλικίας τοῖς ἀρχομένοις δηλοῖ ἐν τῇ τῶν ἰούλων ἐκφύσει· ὑπήνη δέ, αἱ ὑποκάτω τοῦ γενείου τρίχες εἰσίν, ἀπὸ τοῦ ὑπῆναι καὶ ὑποκεῖσθαι τῷ γενείῳ. Ἴουλοι δέ εἰσιν, αἱ κατὰ τῶν παρειῶν ἐπ' ἐπευθείας σὺν πυκνότητι πρῶτον ἀναβλαστάνουσαι τρίχες, ἀπὸ ἰούλου ζῴου πολύποδος οὕτω κληθεῖσαι (Μελέτ. μοναχ. ΞΔ΄, 1185).

*Γένειον* ὅτι καὶ ἀλόγων λέγεται, καὶ ὅτι καὶ λέοντος καὶ τρίγλης γένειον λέγεται (Λ. Εὐστ.).

*Γενείου* κουρά. Διογένης ἰδών τινα κατηχισμένον τὸ γένειον καὶ μεμυρισμένον ἐπὶ ἵππου *ἱππόπορνον* ὠνόμασεν. Ὅτι ἡ τῶν γενείων ἐξαθέρισις ἐπονείδιστος ἦν τοῖς παλαιοῖς, ἐκ πολλῶν δηλοῦται. Ὁ γοῦν αὐτὸς Διογένης τοιοῦτον ἰδών τινα ἔφη, Μή τι ἔχεις ἐγκαλεῖν τῇ φύσει, ὅτι ἄνδρα σε ἐποίησε καὶ οὐ γυναῖκα; Ἕτερος δέ τις παλαιὸς εἶπε τό, Τί γὰρ αἱ τρίχες λυποῦσιν ὑμᾶς, δι' ἃς ἀνὴρ ἕκαστος ἡμῶν φαίνεται; Λέγεται δὲ ἐν Ἀθήναις τὸν πρῶτον προκειράμενον παρωνύμιον ἔχειν *κόρσην* ἀπὸ τοῦ κείρω (Παρεκβολ. Εὐσταθ. εἰς Ὀδύσ. τόμ. Β΄, σελ. 260).

*Γενείου* κουρὰ ἐπονείδιστόν τι ἦν παρὰ τοῖς παλαιοῖς, καὶ ἐσκώπτοντο οἱ τὸν πώγωνα ξυρούμενοι. Ἐν δὲ ἀκμῇ τῆς ἡλικίας καὶ ἐν πένθους καιρῷ ἔκειρον τὴν κόμην τῆς κεφαλῆς (Λ. Εὐστ.).

*Γενείου* τρίχωσις ἀπὸ τῶν κροτάφων ἀρξαμένη ἐπὶ τὰς γένυς φέρεται.

*Γενέσιον*. Λόγος Εἰς τὸ Γενέσιον τῆς Θεοτόκου (Ἰωάν. Δαμ. ϞϚ', 661-680. Ἕτερος λόγος τοῦ αὐτοῦ (Αὐτόθ. 680-698). Ἰωάννου πρεσβυτέρου Εὐβοίας λόγος Εἰς τὴν Σύλληψιν καὶ τὸ Γενέσιον τῆς Θεοτόκου (Αὐτόθ. ϞϚ', 1460-1500) Φωτίου ὁμιλία Εἰς τὸ Γενέσιον τῆς Θεοτόκου (ΡΒ', 548-561).

*Γενέσιος* Ἰωσήφ (ΡΘ').

**Γένεσις** οἱονεὶ εἰς γῆν γεῦσις, ὡς τὸ θανεῖν θέειν ἄνω, ἐτυμολογικῶς κατά τινα τῶν σοφῶν (Λ. Εὐστ.).

*Γένεσις*. Πῶς ταύτην οἱ γνωστικοὶ ἑρμηνεύουσι, καὶ πῶς ἐκ τῆς ἀρχῆς αὐτῆς τὴν πλάνην αὐτῶν πλάττουσιν (Εἰρηναῖος Ζ', 641).

*Γένεσις*. Ὑπομνήματα εἰς τὴν Γένεσιν (Ἱππόλυτος, Ι', 585). Ὠριγένης (ΙΒ', 45—261). Μεθόδιος (ΙΗ', 332-344). Βασίλειος Εἰς τὴν ἑξαήμερον (ΚΘ', 4-208). Γενέσεως εἴδη δύο· ἡ μέν, ἡ εἰς τὸν βίον εἴσοδος· ἡ δέ, ἡ κατὰ Θεὸν μόρφωσις, ἐξ ἔργων καὶ παραδοχῆς δογμάτων ἐπιτελουμένη· κ. ἑ. (Βασίλ. Λ', 140 κ. ἑ.). Διοδώρου Ταρσοῦ τεμάχια ὑπομνημάτων (ΛΓ', 1561-1587). Ἰωάννης ὁ Χρυσόστομος (ΝΓ', 22-385. ΝΔ', 385-630). Σεβηριανὸς Γαβάλων (ΝϚ', 430—500). Θεοδώρου Μοψουεστίας τεμάχια (ΞϚ', 636-646). Κύριλλος Ἀλεξανδρείας (ΞΘ', 13-386). Θεοδώρητος Κύῤῥου (Π', 75—225). Προκόπιος Γαζαῖος (ΠΖ', 21-512). Γενναδίου Π. Κωνσταντινουπόλεως τεμάχια (ΠΕ', 1624-1665). Εὐσεβίου Ἐμίσης τεμάχια (ΠϚ', 556-560).

*Γένεσις* ἐν χρόνῳ. Χρόνος ἅμα οὐρανῷ γέγονεν, ἵν' ἅμα γενόμενα, ἅμα καὶ διαλυθῶσιν· ἤν περ ἄρα λύσις αὐτῶν γένηται (Ζαχαρίας Μιτυλ. ΠΕ', 1081).

*Γένεσις* καὶ φθορά. Πάντα τὰ ὄντα καὶ γίνεται καὶ ἔστι κατὰ τὴν τοῦ ἀγαθοῦ φύσιν· κ. ἑ. (Ἰωάν. Λυδὸς ἔκδ. Βόν. σελ. 188).

*Γένεσις*. Διὰ τί καλεῖται Βιβλίον γενέσεως οὐρανοῦ καὶ γῆς; Ἑρμηνεία (Χρυσόστ. ΝΓ', 99 κ. ἑ.).

*Γένεσις* πρῶτον καὶ κανονικὸν βιβλίον τῆς Παλαιᾶς ἐστι Διαθήκης (Γρηγόρ. Ναζιανζ. Περὶ τῶν κανονικῶν βιβλίων τῆς θείας Γραφῆς. ΛΖ', 473).

*Γένεσις* καλεῖται τὸ πρῶτον βιβλίον τῆς θείας Γραφῆς, ἐπειδὴ καὶ τὴν γένεσιν πάντων περιέχει οὐρανοῦ τε καὶ γῆς καὶ τῶν ἀνθρώπων καὶ τῶν φαινομένων τούτων ὅλων, καὶ αὐτὴν τὴν τοῦ Παραδείσου φυτείαν (Ἀθανάσ. ΚΗ', 296 κ. ἑ.).

*Γένεσις* λεπτή, λεπτογένεσις καλουμένη, βίβλος τῶν αἱρετικῶν Σηθιανῶν, περιέχουσα τὰ ὀνόματα τῶν γυναικῶν τοῦ τε Κάϊν καὶ τοῦ Σήθ (Ἐπιφάν. ΜΑ', 672).

*Γένεσις* εἱμαρμένη καὶ τύχη (Βασίλ. ΛΑ', 1469).

*Γένεσιν* εἱμαρμένην καὶ τύχην ἐν μοίρᾳ εἰδωλολατρείας λογιούμεθα καὶ ἀποπλάνησιν. Ἀθεότητος γὰρ τὸ χρῆμα μεστόν· κ. ἑ. (Κύριλ. Ἀλεξ. ΞΗ', 449-464).

*Γένεσις* εἱμαρμένη, τύχη. Ποῦ τοίνυν εἰσὶν οἱ τῆς γενέσεως τὴν τυραννίδα ἐπιτειχίζοντες, καὶ τῶν καιρῶν τὴν περιφορὰν τοῖς τῆς Ἐκκλησίας δόγμασιν; Ἀπαρίθμησις πολέμων κατὰ τοῦ χριστιανισμοῦ. Καὶ ὅτι βέλτιον ἀγνοεῖν καλῶς, ἢ μανθάνειν κακῶς (Χρυσόστ. ΝΗ', 691 κ. ἑ.). Γενέσει καὶ εἱμαρμένῃ οὐ χρὴ πιστεύειν (Χρυσόστ. Ν', 751. Πάντων τῶν δογμάτων τὸ χείριστον (Αὐτόθ. 765). Εἰ ἔστι γένεσις, οὔτε κρίσις, οὔτε δικαιοσύνη, οὔτε Θεός, οὔτε πίστις ἐστίν (Αὐτόθ. 765-768). Χρυσοστόμου λόγοι ἐξ Περὶ εἱμαρμένης καὶ προνοίας (Ν', 749-774).

Ὅτι γὰρ οὔτε γένεσίς ἐστιν, οὔτε δρόμος ἀστέρων τὰ ἀνθρώπινα διοικῶν, καὶ τῶν Γραφῶν χωρὶς ἀπ' αὐτῶν τῶν πραγμάτων δῆλον. Εἰ γὰρ ὑπὸ γένεσιν τὰ ἀνθρώπινα, τίνος ἕνεκεν μαστιγοῖς τὸν οἰκέτην κεκλοφότα, τὴν γυναῖκα μοιχευθεῖσαν; Τίνος ἕνεκεν αἰσχύνῃ τὰ πονηρὰ πράττων, καὶ κακῶς ἀκούων; κ. ἑ. (Χρυσόστ. ΞΓ', 509).

*Γένεσις* ἐπὶ μὲν τῶν σωμάτων μία ἐστίν, ὅτι οὐδεὶς δεύτερον ἐγεννήθη· ἐπὶ δὲ τῶν ψυχῶν τῶν ἁγιάζεσθαι διηνεκῶς προαιρουμένων πλείους γεννήσεις εὑρίσκονται· ἀεὶ γὰρ ἀνακαινούμενος καὶ ἀνανεούμενος γεννᾶ-

ται ὁ δίκαιος· κ. ἑ. (Νεῖλ. ΟΘ', 157).

**Γεγόνασι** τοῦ καιροῦ. Πάντες τοῦ καιροῦ γεγόνασι, τοσοῦτον ἀλλήλων διενεγκόντες· κ. ἑ. (Γρηγ. Ναζ. ΛΕ', 1109).

**Γενησαρέτ.** Ὁμιλία Χρυσοστόμου Εἰς τὴν λίμνην Γενησαρέτ. (ΞΔ', 47).

**Γένιος** βασιλεὺς Ἰλλυριῶν.

**Γενισταὶ** αἱρετικοί. Τὰς ὁμοίας αἱρέσεις Γενιστῶν καὶ Μεριστῶν, καὶ Γαλιλαίων (Ἰουστῖν. Ϛ', 665).

**Γεννάδιος** Α', πατριάρχ. Κωνσταντινουπόλεως (ΠΕ', 1613). Ἐγκύκλιος αὐτοῦ κατὰ σιμωνιακῶν (Αὐτόθ. 1613-1621). Τεμάχια ὑπομνημάτων εἰς τὴν Γένεσιν καὶ Ἔξοδον (Αὐτόθ. 1624-1665). Εἰς τοὺς Ψαλμούς (Αὐτόθ. 1665). Εἰς τὴν Πρὸς Ῥωμ. ἐπιστ. (Αὐτόθ. 1669-1728). Εἰς τὴν Α' Πρὸς Κρινθίους, εἰς τὴν Β', εἰς τὴν Πρὸς Γαλάτας, εἰς τὴν Πρὸς Ἑβραίους (Αὐτόθ. 1728-1743). Τὰ περὶ τοῦ βίου αὐτοῦ (Αὐτόθ. 1612-1613). Οὐδένα ἐχειροτόνει μὴ τὸ Ψαλτήριον διὰ στόματος φέροντα (Αὐτόθ.). Θεόδωρος Ἀναγνώστης περὶ αὐτοῦ (Ἐκκλ. Ἱστορ. ΠϚ', 173).

*Γεννάδιος* Β', Σχολάριος ὁ πρὶν Γεώργιος Π. Κ. (ΡΞ', 249-768, ἔνθα καὶ τὰ συγγράμματα αὐτοῦ). Προσθῆκαι εἰς τὰ ἅπαντα Γενναδίου (Αὐτόθ. 1105-1157).

**Γενναῖος.** Περὶ γενναίων καὶ ῥαθύμων (Ἰσίδ. Πηλ. ΟΗ', 1480. 1472).

*Γενναῖος*, ἐπίθετον· καὶ γενναῖα σῦκα, καὶ σταφυλὴ γενναία (Λ. Εὐστ.).

**Γεννᾶν** λέγεται κυρίως ὁ πατήρ, τίκτειν δὲ ἡ μήτηρ. Καταχρηστικῶς δὲ ἑκάτεροι καὶ τίκτειν καὶ γεννᾶν λέγονται, ἢ καὶ τοκεῖς καὶ γονεῖς ἑκάτεροι λέγονται (Λ. Εὐστ.).

*Γεννᾶν*. Γεννᾷ ὁ Θεὸς ἀχρόνως καὶ ἀνερμηνεύτως τὸν Υἱόν. Ἄχραντος ἡ γέννησις. Συναΐδιος ὁ Υἱὸς τῷ Πατρί. Υἱὸν λέγομεν γεννηθέντα μὲν ἀπαθῶς, τὸν δὲ τῆς γεννήσεως τρόπον ἑρμηνεύειν οὐκ ἐπιστάμεθα· κ. ἑ. Περὶ τοῦ γεννᾶν καὶ γεννᾶσθαι (Χρυσόστ. ΝϚ', 461 κ. ἑ.).

**Γεννηθῆναι.** Ἐάν τις μὴ γεννηθῇ ἄνωθεν. Ἀδύνατον δὲ ἦν ἄνωθεν γεννηθῆναι, μὴ προλαβούσης χάριτος τοῦ Θεοῦ (Βασίλ. ΛΑ', 1537-1540) Γεννηθῆναι ἐξ ὕδατος (Αὐτόθ.).

**Γέννημα.** Ὅτι οὐχ ὑπόστασιν σημαίνει, ἀλλὰ τὴν πρὸς ἕτερον σχέσιν ὑποσημαίνει (Βασίλ. ΚΘ', 588). Διὰ τί οὐ καλεῖται γέννημα ὁ Υἱός, ἀλλ' Υἱός; (Αὐτόθ. 584-585). Ὅτι ἰδίωμα, ἀλλ' οὐκ οὐσίαν σημαίνει ἡ λέξις (Αὐτόθ. 580). Διὰ τί τέκνον οὐ καλεῖται; (Αὐτόθ. 580). Εἰ ὁ Θεὸς οὐ γεννᾷ, ἢ διὰ τὸ μὴ δύνασθαι, ἢ διὰ τὸ μὴ βούλεσθαι, ἀλλ' οὐδὲν τούτων· κ. ἑ. (Αὐτόθ. 676). Γέννημα καὶ ποίημα οὐ διαφέρουσιν ἀλλήλων (Αὐτόθ. 580). Γέννημα συνήθως οὐ λέγεται· καὶ γὰρ παρὰ τοῖς ζώοις γεννήματα καλοῦνται καὶ τὰ ἐξημβλωκότα αὐτῶν (Αὐτόθ. 588). Ὅταν λέγηται, οὗτος τούτου γέννημά ἐστιν, οὐχὶ τὴν τοῦ γεννήτορος οὐσίαν νοοῦμεν, ἀλλὰ τὸν τρόπον καθ' ὃν παρήχθη (Αὐτόθ. 589). Ὅταν τὸν υἱὸν γέννημα καλῶμεν, οὐ δεῖ νοεῖν αὐτὸν ὥσπερ τι τῶν γεννημάτων (Αὐτόθ. 673). Εἰ ὁ υἱὸς γέννημά ἐστι φύσει, ἀναγκαῖόν ἐστι καὶ γεννήτορα ὑπάρχειν· ἄνευ γὰρ γεννήτορος, γέννημα οὐ δύναται ὑπάρξαι (Αὐτόθ. 676).

*Γέννημα* καὶ καρπὸς τοῦ Πνεύματος. Τούτων τις καὶ τοῦ ἐμοῦ Πνεύματος γέννημα καὶ καρπός, ὡς γεννᾶν οἶδε τοὺς ἐπανισταμένους τοῦ σώματος· κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 472).

*Γέννημα*. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος, πνεῦμά ἐστιν (Κύριλ. Ἀλεξ. ΟΓ', 241-248. Περὶ τῆς διὰ τοῦ ἁγίου Πνεύματος ἀναγεννήσεως καὶ τῆς θείας χάριτος).

*Γέννημα*, καὶ κτίσμα. Ἄλλο γάρ τι ἐστὶ τὸ κτίσμα, καὶ ἕτερον σημαίνει τὸ γέννημα· κ. ἑ. (Γρηγ. Νύσ. ΜΕ', 656).

**Γεννήματα** ἐχιδνῶν, καὶ περὶ ἐχίδνης. Γεννήματα ἐχιδνῶν ὁ Ἰωάννης τοὺς Ἰουδαίους ἐκάλεσεν, ὡς πονηρῶν γονέων κυήματα πονηρότερα. Φασὶ γὰρ τουτὶ τὸ θηρίον κατεσθίειν τὴν μητρῴαν νηδὺν ἐν τῷ ἀποτίκτεσθαι· κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 253).

**Γέννησις** τοῦ Λόγου τοῦ Θεοῦ παρὰ τοῦ Πατρός. Ἀνέφικτος αὕτη τυγχάνει οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ ταῖς πάσης ἐπέκεινα οὐσίας δυνάμεσιν (Εὐσέβ. ΚΒ', 356). Παραβάλλεται πρὸς τὴν εὐωδίαν τὴν ἔκ τινος ἄνθους διαχεομένην, καὶ πληροῦσαν τὸν ἀέρα, μηδεμίαν δὲ μείωσιν ἢ τομὴν τοῦ ἄνθους παράγουσαν (Αὐτόθ. 256-257.— Γρηγόρ. Νύσ. ΜΕ', 780).

*Γέννησις* Χριστοῦ ἐκ τῆς Παρθένου. Ἀσυνδύαστος μὲν ἡ κυοφορία, ἀμόλυντος δὲ ἡ λοχεία, ἀνώδυνος δὲ ἡ ὠδίς· οὐ θάλαμος ἡ τοῦ Ὑψίστου δύναμις, οἷόν τις νεφέλη τὴν παρθενίαν ἐπισκιάζουσα· πυρσὸς δὲ γαμήλιος ἡ τοῦ ἁγίου Πνεύματος ἔλλαμψις· κλίνη δὲ ἡ ἀπάθεια, καὶ γάμος ἡ ἀφθαρσία (Γρηγ. Νύσ. ΜΔ', 1053). Καιρὸς τοῦ τεκεῖν καὶ καιρὸς τοῦ ἀποθανεῖν. Κατ' ἀνάγκην ἐν τῇ γεννήσει ἕπεται θάνατος· κ. ἑ. (Αὐτόθ. 701). Τῆς γεννήσεως τρόπος κατὰ Εὐνόμιον (ΜΕ', 389). Ποικίλαι διαφοραὶ γεννώντων (Αὐτόθ. ΜΕ', 389). Τί ἐστι γέννησις (Αὐτόθ. 780). Γέννησις διπλῆ ἐστιν (Αὐτόθ. 636). Τριπλῆ ἐν ἡμῖν ἐστιν ἡ γέννησις (Αὐτόθ. 637).

*Γέννησις* τί διαφέρει τῆς ἐκπορεύσεως (Χρυσόστ. ΝΓ', 154). Γεννήσεως καὶ ἐκπορεύσεως ἄγνωστος ὁ τρόπος (Δίδυμ. ΛΘ',281).

Ὁ τῆς θείας γεννήσεως τρόπος ἀπρόσιτος καὶ ἀκατάληπτός ἐστιν· ἡ εἰς Πατέρα μέντοι καὶ Υἱὸν πίστις οὐκ ἀποβλητή (Βασίλ. ΚΘ', 625). Ἀμφιβόλῳ ὀνόματι γεννήσεως ἐχρῆτο Εὐνόμιος, τοὺς ἁπλοῦς ὅπως ἀπατήσῃ (Αὐτόθ. 548). Ἀνασκευὴ τῶν διαφόρων αὐτοῦ σοφισμάτων (Αὐτόθ. 549). Οὐδεὶς τοσοῦτον σαρκικὸς καὶ τῶν Γραφῶν ἀδαὴς ἐστιν, ὥστε τὴν θείαν γέννησιν ἀνθρωπίνως ὑπολαβεῖν (Αὐτόθ. 580). Ὁποία τις γέννησις ἀξία ἂν εἴη Θεῷ (Αὐτόθ. 604). Ἐπεὶ τὰ φθαρτὰ πάθη γεννῶνται, εἰκὸς τὸν ἄφθαρτον ἄλλῳ τῳ τρόπῳ ἐναντίῳ γεννᾶσθαι (Αὐτόθ. 621). Ἡ λέξις γεννᾶν τοῦ γεννῶντος πάθος ἐμφαίνει, εἴτε ἕνωσιν μετὰ τοῦ γεννητοῦ δηλοῖ (Αὐτόθ. 625). Τὸ γεννώμενον ἐκ τῆς οὐσίας τοῦ γεννῶντός ἐστιν, καὶ εἰ ὁ γεννηθεὶς ἐλάττων τοῦ γεννήσαντος, ἀσθένειά ἐστι τοῦτο τοῦ γεννήσαντος (Αὐτόθ. 673). Ταὐτὸν τὸ γεννᾶν τῷ ποιεῖν τὸν Θεόν (Αὐτόθ. 688). Ἡ πρὸ αἰώνων τοῦ Υἱοῦ γέννησις ἐν πίστει, οὐκ ἐν ἀποδείξει ἐστίν (Αὐτόθ. 692). Τὸ μὲν ἐγέννησεν ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ εἴρηται· τὸ δὲ ἐποίησεν ἐπὶ τοῦ μορφὴν δούλου λαβόντος (Αὐτόθ. 704). Πῶς νοητέον τὸ «ἐκ γαστρὸς ἐγέννησά σε» (Αὐτόθ. 716). Οὐ πιστεύει· ὅτι ἴδιον ἔχει Υἱὸν ὁ Πατήρ, καὶ ζητεῖς τίνι τρόπῳ ἐγέννησεν (Αὐτόθ. 752). Ὁ φοβούμενος μή τι πάθος προσγίνεται τῷ Θεῷ γεννῶντι, δύναται φοβεῖσθαι μὴ κίνησις καὶ κόπος αὐτῷ δημιουργοῦντι (Αὐτόθ. 485. 757).

*Γέννησις*. Ἀκούεις γέννησιν; Τὸ πῶς μὴ περιεργάζου. Ἀκούεις ὅτι τὸ Πνεῦμα προϊὸν ἐκ τοῦ Πατρός; Τὸ ὅπως μὴ πολυπραγμόνει. Εἰ δὲ πολυπραγμονεῖς Υἱοῦ γέννησιν, καὶ Πνεύματος πρόοδον, κἀγώ σου πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς καὶ σώματος. Πῶς εἶ χοῦς καὶ εἰκὼν Θεοῦ; Τί τὸ κινοῦν σε, ἢ τί τὸ κινούμενον; Πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται; κ. ἑ. (Γρηγόρ. Ναζιανζ. ΛΕ', 1077).

Πῶς οὖν οὐκ ἐμπαθὴς ἡ γέννησις; Ὅτι ἀσώματος. Εἰ γὰρ ἡ ἐνσώματος ἐμπαθής, ἀπαθὴς ἡ ἀσώματος. Ἐγὼ δέ σε ἀντερήσομαι· πῶς Θεός, εἰ κτίσμα; Οὐ γὰρ Θεὸς τὸ κτιζόμενον· ἵνα μὴ εἴπω, ὅτι κἀνταῦθα πάθος, ἂν σωματικῶς λαμβάνηται, οἷον χρόνος, ἔφεσις, ἀνατύπωσις, φροντίς, ἐλπίς, λύπη, κίνδυνος, ἀποτυχία, διόρθωσις· ἃ πάντα καὶ πλείω τούτων περὶ τὴν κτίσιν, ὡς πᾶσιν εὔδηλον· κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 77). Ἔλεγχος τῶν λεγόντων, Βουληθεὶς γεγέννηκε τὸν Υἱόν, ἢ μὴ βουλόμενος (Αὐτόθ. 80). Ὅτι οὐκ ἂν ἦν μεγάλη ἡ γέννησις, εἰ ἡμῖν καταληπτὴ ἦν (Αὐτόθ. 84).

Τὴν ἐκ τοῦ Πατρὸς γέννησιν τοῦ Υἱοῦ ἀκατάληπτον οὖσαν ἡμῖν, μόνος ὁ Πατὴρ οἶδε (Γρηγ. Ναζ. ΛΖ', 402).

*Γέννησις* τοῦ Υἱοῦ. Πρὸς τοὺς ἐρωτῶντας, Θέλων ἢ μὴ θέλων ὁ Πατὴρ ἐγέννησε τὸν Υἱόν (Δίδυμ. ΛΘ', 261). Ὅτι ἡ πρότασις αὕτη ἀτοπίας ἀνάμεστος (Αὐτόθ. 284). Εἰ ὅλως γεννητικός ἐστιν ὁ ἀγέννητος Θεός, οὐκ οὐσιωδῶς ἐγέννησε· καὶ ὅτι εἰ μετεβλήθη ἡ οὐσία αὐτοῦ εἰς γέννημα, οὐκ ἀμετάβλητος ἡ οὐσία τοῦ Θεοῦ (Αὐτόθ.).

*Γέννησις* Χριστοῦ. Λόγος εἰς τὴν Γέννησιν (Ἀθαν. ΚΗ', 960-972).

*Γέννησις* ἀνθρώπων. Τίνος χάριν οἱ πλείους τῶν ἀνθρώπων νυκτὶ τίκτονται καὶ ἐν νυκτὶ τελευτῶσιν; Ἀπ. Ἐμοὶ δοκεῖ, ἵνα μάθωμεν διὰ τοῦ τοιούτου ὑποδείγματος, ὅτι σκοτεινὴ ὑπάρχει τοῦ παρόντος βίου καὶ ἡ γέννησις καὶ ἡ κοίμησις· ἤγουν ἡ ἐν αὐτῷ εἴσοδος, καὶ ἡ ἐξ αὐτοῦ ἔξοδος (Ἀθαν. ΚΗ', 664).

*Γεννήσεως* Χριστοῦ ἡ ἑορτὴ ἐν μιᾷ ἡμέρᾳ ἐτελεῖτο ἐν Ἱεροσολύμοις μετὰ τῆς ἑορτῆς

τῶν Φώτων. Ἔπειτα δὲ ὡρίσθησαν ἡ 25 Δεκεμβρίου καὶ ἡ 6 Ἰανουαρίου (Κύριλλ. Ἱεροσ. ΛΓ', 1208-1209).

Διδασκαλία περὶ τῆς τοῦ Χριστοῦ γεννήσεως ἐν τῇ ἑορτῇ (Εὐσέβ. Ἀλεξ. ΠϚ', 365-372). Εὐσέβιος Ἐμίσης περὶ τοῦ Χριστοῦ (Αὐτόθ. 536-545).

Λόγοι εἰς τὴν γέννησιν τοῦ Χριστοῦ. Ἀθανάσιος (ΚΗ', 960—972). Γρηγόρ. Ναζ. (ΛϚ', 312-333). Γρηγόρ. Νύσσ. Εἰς τὴν γέννησιν καὶ εἰς τὰ νήπια τὰ ἐν Βηθλεὲμ ὑπὸ Ἡρῴδου ἀναιρεθέντα (ΜϚ', 1128-1149). Χρυσόστομος (ΝΖ', 24-82). Ὁμ. (ΜΘ', 351-362). Ὁμ. (ΝϚ',385-394). Ὁμ. (ΝΘ', 687-700). Ὁμ. (ΞΒ', 763). Ὁμ. (ΞΑ', 737). Ὁμ. (ΞΓ', 821-834).

*Γέννησις* ψυχῆς ἐκ Πνεύματος ἁγίου. Οἱ τὸν λόγον ἀκούοντες ἔργον τοῦ λόγου ἐν ταῖς ἑαυτῶν ψυχαῖς ὀφείλουσιν ἐπιδείξασθαι. Ὁ λόγος γὰρ τοῦ Θεοῦ οὐκ ἔστι λόγος ἀργὸς κ. ἑ. (Ὁμιλ. Μακαρ. Αἰγ. ΛΔ',721-728).

*Γέννησις* πνευματικὴ ἐκ λόγων καὶ διδασκαλίας, μετὰ παραδειγμάτων. Καὶ ὅτι πάντες ἄνθρωποι κύουσι καὶ κατὰ σῶμα καὶ κατὰ ψυχήν· καὶ ὅτι κρείττων ἡ τῆς ψυχῆς κύησις (Κλήμ. Ἀλεξ. Θ', 29-205).

*Γέννησις* πνευματικὴ οὐκ ἔχει δάκρυα, οὐ σπάργανα, οὐ δεσμὰ κ. ἑ. (Χρυσόστ. ΝΑ', 97).

*Γέννησις* τρισσή. Τρισσὴν γέννησιν ἡμῖν οἶδεν ὁ Λόγος· τὴν ἐκ σωμάτων, τὴν ἐκ βαπτίσματος καὶ τὴν ἐξ ἀναστάσεως. Τούτων δὲ ἡ μὲν νυκτερινή τέ ἐστι, καὶ δούλη καὶ ἐμπαθής· ἡ δὲ ἡμερινή, καὶ ἐλευθέρα καὶ λυτικὴ παθῶν κ. ἑ. Ἡ δὲ τρίτη φοβερὰ καὶ σύντομος κ. ἑ. Ταύτας τὰς τρεῖς γεννήσεις παρ' ἑαυτοῦ τιμήσας ὁ ἐμὸς Χριστὸς φαίνεται (Γρηγ. Ναζ. ΛϚ', 360 κ. ἑ.—Γρηγ. Νύσσ. ΜΕ', 637).

**Γεννητά.** Περὶ γεννητῶν. Θεολογία. (Μεθόδ. ΙΗ', 332-344).

**Γεννητικὸν** ἢ σπερματικόν. Καὶ τὸ γεννητικὸν δὲ τοῦ μέρους ἐστὶ τοῦ μὴ κατηκόου λόγῳ. Ἀβουλήτως γὰρ ἐν ταῖς ὀνειρώξεσι προΐεμεν τὴν γονήν. Καὶ ἡ ἐπιθυμία δὲ τῆς συνουσίας φυσική. Ἄκοντες γὰρ ἐπ' αὐτὴν κινούμεθα. Ἡ δὲ πρᾶξις ὁμολογουμένως ἐφ' ἡμῖν κατὰ προαίρεσιν κ. ἑ. (Νεμέσ. Μ', 700 κ. ἑ.).

**Γεννητόν.** Ἀλλ' οὐ ταὐτόν, φησί, τὸ ἀγέννητον καὶ τὸ γεννητόν· εἰ δὲ τοῦτο, οὐδὲ ὁ Υἱὸς τῷ Πατρὶ ταὐτόν· ὅτι μὲν φανερῶς ὁ λόγος οὗτος ἐκβάλλει τὸν Υἱὸν τῆς Θεότητος, ἢ τὸν Πατέρα, τί χρὴ λέγειν; Εἰ γὰρ τὸ ἀγέννητον οὐσία Θεοῦ, τὸ γεννητὸν οὐκ οὐσία· εἰ δὲ τοῦτο, οὐκ ἐκεῖνο. Τίς ἀντερεῖ λόγος; Ἑλοῦ τοίνυν τῶν ἀσεβειῶν ὁποτέραν βούλει, ὦ καινὲ θεολόγε, εἴπερ ἀσεβεῖν πάντως ἐσπούδακας κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 85-88 κ. ἑ.).

*Γεννητόν*, ἀγέννητον καὶ ἐκπορευτὸν οὐκ οὐσίας ὀνόματα, ἀλλὰ τρόποι ὑπάρξεως. Ὁ δὲ τρόπος τῆς ὑπάρξεως τοῖς ὀνόμασι χαρακτηρίζεται τούτοις κ. ἑ. Ἔστι δὲ ὁ Πατὴρ ἀγέννητος, ἀφ' οὗ καὶ ὁ Υἱὸς γεγέννηται καὶ τὸ Πνεῦμα προῆλθε, ταὐτὸν τῷ Πατρὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ ἅγιον (Ἰουστῖνος Ϛ', 1208-1240).

**Γένη.** Περὶ τῶν δέκα γενικωτάτων γενῶν (Ἰωάνν. Δαμασκ. ϞΔ', 801). Περὶ γένους καὶ εἴδους (Αὐτόθ. 557-586).

*Γένη* παρὰ τὸν Ἴστρον οἰκοῦντα, Βορανοὶ καὶ Γότθοι καὶ Κάρποι καὶ Οὐρογοῦνδοι (Ζώσιμ. Ἱστ. ἔκδ. Βόνν., σελ. 30).

**Γεννικὸν κρέας** παρὰ τῷ κωμικῷ τὸ ἁδρὸν κόμμα τὸ γενναῖον διὰ τὸ πάχος (Λ. Εὐστ.).

**Γένος,** τὸ τριακοστὸν μέρος τῆς φατρίας εἴτουν τριττύος ἑκάστης τῶν Ἀθήνησι φυλῶν. (Ἐκτενέστερον περὶ τούτου ὅρ. Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Α', σελ. 194).

*Γένος*. Περὶ γένους, εἴδους καὶ διαφορᾶς παρὰ λογικευομένοις (Κλήμ. Ἀλεξ. Θ', 580-601). Γένος, εἶδος, ἄτομον· ἀνάπτυξις (Θεοδώρ. ΠΓ', 33 κ. ἑ.). Περὶ γένους καὶ εἴδους ἀπορίαι διάφοροι, ἐν αἷς ἔστιν εὑρεῖν τὰς λύσεις αὐτῶν (Φώτ. ΡΑ', 477-489).

*Γένος* τρισσόν. Ἔστι γάρ τι γένος τρισσόν· τὸ μὲν ἄνωθεν ἠργμένον, ὃ πάντες ἐσμὲν εὐγενεῖς ἐπίσης, ἐπεὶ κατ' εἰκόνα Θεοῦ γεγόναμεν· τὸ δὲ ἀπὸ σαρκὸς ἐρχόμενον, οὐκ οἶδα εἴ τις εὐγενής, τοῦτο φθορᾷ συνιστάμενον· τὸ δὲ ἀπὸ κακίας ἢ ἀρετῆς γνωριζόμενον, οὗ μᾶλλον καὶ ἧττον μεταλαμβάνομεν, ὅσον ἄν, οἶμαι, ἢ τηρήσωμεν τὴν εἰκόνα, ἢ διαφθείρωμεν. Ταύτην ἀγαπήσεις τὴν εὐγένειαν ὅ γε ἀληθῶς σοφὸς καὶ φιλόσοφος. Τὸ

γὰρ τέταρτον γένος τότε ἀξιώσω λόγου, τὸ ἐν γράμμασι καὶ προστάγμασιν, ὅταν καὶ κάλλος ἀποδέξωμαι τὸ ἐν χρώμασι, καὶ πίθηκον αἰδεσθῶ λέοντα εἶναι κεκελευσμένον (Γρηγ. Ναζ. ΛΕ', 1228, 1241-1252).

Οἱ τὸ γένος κομπάζοντες, τὸν τρόπον ἐξευγενίσατε· ἢ φθέγξομαί τι τῶν ἀηδῶν μέν, εὐγενῶν δέ. Τότε γὰρ ἀληθῶς εὐγενέστατον ἦν ἄν τε τὸ ὑμέτερον, εἰ μὴ καὶ δέλτοι τοὺς δυσγενεῖς ὑμῶν ἐνέγραφον (Γρηγ. Ναζ. ΛϚ', 277).

*Γένος* τὸ ἡμέτερον ἐλάμπρυνεν ἡ θεία οἰκονομία διὰ Βασιλείου τοῦ Μεγάλου (Γρηγ. Ναζ. ΛϚ', 532).

*Γένος* καὶ γενεά, υἱοὶ τοῦ Πρωτογόνου καὶ τοῦ Αἰῶνος κατὰ τὴν Φοινίκων θεολογίαν (Εὐσέβ. ΚΑ', 76).

*Γένος* τὸ ἀνθρώπινον πᾶν ἀντικειμένῃ δυνάμει ὑπέκειτο. Περὶ τῆς ἐχθρᾶς καὶ ἀντικειμένης τῷ Θεῷ δυνάμεως καὶ τοῦ ταύτης ἐξάρχοντος (Εὐσέβ. ΚΒ', 272 κ. ἑ.).

*Γένος* ἀνθρώπων πῶς ἤθελε πληθυνθῆ, εἰ μὴ ὁ Ἀδὰμ παρέβη τὴν ἐντολήν; Εὔδηλον μὲν ὅτι διὰ σπερμογονίας ἐνετείλατο ὁ Θεὸς συστήσασθαι τὸ ἀνθρώπινον γένος, ἀλλ' ὅμως οὐχὶ διὰ παρακοῆς, ἀλλὰ μετὰ τιμῆς ἐβούλετο τοῦτο γενέσθαι (Ἀθαν. ΚΗ', 629).

*Γένος* Θεοῦ ὑπάρχοντες πῶς; (Πράξ. ΙΖ', 29). Ἐγὼ Χριστιανός εἰμι, καὶ τοῦ Θεοῦ εἰμι· πόθεν τοῦτο; Τὸ Πνεῦμα τὸ ἅγιον ἔχω τὸ ἐξ οὐρανοῦ κατιόν. Θέλεις καὶ ἄλλην ἀπόδειξιν; Ἔλαβον Πνεῦμα ἐξ οὐρανοῦ τὸ τοῦ Θεοῦ, ἔχω μου τὸν ἀρραβῶνα βέβαιον. Ποῖον ἀρραβῶνα; Ἄνω τὸ σῶμα αὐτοῦ, κάτω τὸ Πνεῦμα αὐτοῦ πρὸς ἡμᾶς. Ἀμφιβάλλεις, αἱρετικέ, ὅτι τοῦ Θεοῦ ἐσμεν; Γένος ἐγένετο ἕν, Θεοῦ καὶ ἀνθρώπων κ. ἑ. (Χρυσόστ. ΝΒ', 789).

*Γένος* ἐκλεκτόν. Κεκλήμεθα γὰρ καὶ ἡμεῖς παρά γε ταῖς θείαις Γραφαῖς, γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν (Κύριλλ. Ἀλεξ. ΞΗ', 589).

**Γεγενῆσθαι** ἐκ τοῦ Θεοῦ, καὶ εἶναι ἐκ τοῦ Θεοῦ, τί διαφέρει; Ἑρμηνεία (Ὠριγ. ΙΔ', 605).

**Γέντα** κατὰ γλῶσσαν θρᾳκικὴν τὰ κρέα. (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Β', σελ. 188-189). Γέμει, λέγει, διὰ τὰς ἐπιμιξίας μυρίων ἐθνικῶν λέξεων ἡ ἑλλὰς γλῶσσα (Αὐτόθ. 189. Βλέπ. δὲ αὐτόθ. καὶ τόμ. Α', σελ. 298). Καρῶν διάλεκτος, καὶ Ἐν μοίρᾳ Καρός.

**Γέρα**, τὰ ἐξαιρέτως διδόμενα τοῖς προέχουσιν. Γέρα θεσσαλικά, αἱ θεσσαλικαὶ χλαμύδες, διότι ἔπαθλα ἦσαν τοῖς ἐκεῖ ἀγῶσιν (Λ. Εὐστ.).

**Γεραιαὶ** γυναῖκες λέγονται αἱ ἔντιμοι. Γεραιός, οἱ ἔντιμοι γέροντες.

**Γεράνα** γυνή τις ὡς θεὸς παρὰ Πυγμαίοις τιμωμένη καὶ ὑπὸ τῆς Ἥρας ἀπορνιθωθεῖσα (Λ. Εὐστ.).

**Γεράνδρυον**, παλαιὸν ξύλον, δι' οὗ οἱ Ἀργοναῦται κατεσκεύασαν ἄγαλμα τῆς Ῥέας (Σχόλ. Θ', 779).

**Γέρανοι** ὅτι κλάζειν λέγονται οὐ κράζειν· ὅτι παρὰ τὸ γῆν ἐρευνᾶν, καὶ ὅτι δειλὸν τὸ ζῷον καὶ εὐαίσθητον τῶν τοῦ περιέχοντος ποιοτήτων (Λ. Εὐστ.).

*Γέρανοι*, ὅταν οἱ λοιποὶ κοιμῶνται, φύλακας καθιστῶσιν ἀγρυπνοῦντας· ἐν δὲ τῇ πτήσει κατ' ἀμοιβὴν ὁδηγοὶ γίγνονται (Βασίλ. ΚΘ', 172-173). Γεράνων καὶ χηνῶν συνέδρια, ἀκριτόφωνα τε ὄντα καὶ μάτην μαινόμενα (Κοσμ. Ἱεροσ. ΛΗ', 413, ἔνθα Γρηγ. Ναζ.).

**Γεραρὸς** λέγεται ὁ ἐκ μόνης θέας τὸ τίμιον ἔχων (Λ. Εὐστ.).

**Γέρας**, τὸ ἀξίωμα, ὃ ὁ δῆμος δίδωσιν.

*Γέρας* τὸ ἁπλῶς δῶρον, ἢ τὸ ἐπέκεινα τῆς μοίρας διδόμενον, ἢ τὸ πρὸς χάριν δῶρον (Λ. Εὐστ.).

*Γέρας* λέγεται ὃ αὐτὸς ἐξαιρεῖται ὁ στρατηγός, πρὶν μοιρασθῆναι τὴν λείαν (Λ. Εὐς.).

*Γέρας* θανόντων, τὰ κατὰ τὸν τάφον πρὸς μνήμην τῶν κειμένων συντελοῦντα (Λ. Εὐστ.—Σχόλ. Θ', 780).

*Γέρας* χρεωστεῖται οὐ γένει, ἀλλ' ἀρετῇ. Οἱ γὰρ ἐκ πατέρων νομίζοντες δίκαιον εἶναι τὰς ἀρχὰς ἐπὶ τοὺς παῖδας τυφλώττουσι πρὸς τὴν ἀλήθειαν (Ἰσίδ. ΟΗ', 964).

*Γέρας*, πόλις μικρὰ κατὰ τὸ Πηλούσιον (Σωζόμ. ΞΖ', 1565).

**Γέρασα**, τῆς Ἀραβίας ἐστὶ πόλις οὔτε θάλασσαν, οὔτε λίμνην πλησίον ἔχουσα. Ἔνθα περὶ τῶν πόλεων Γάδειρα καὶ Γέργεσα (Ὠριγ. ΙΔ', 269-272).

**Γεράσιμος** Βλάχος. Ἐπιστολὴ αὐτοῦ

πρὸς Λουδοβῖκον ΙΔ', βασιλέα τῆς Γαλλίας (ϛ', 61).

**Γεργέριμοι** ἐλαῖαι, αἱ καὶ δρυπέτεις ἢ δρυπετεῖς, ὅ ἐστιν ἐπὶ τοῦ δένδρου πεπαινόμεναι (Λ. Εὐστ.).

**Γέργεσα**, πόλις ἦν ἀρχαία περὶ τὴν Τιβεριάδα λίμνην. Ἑρμηνεύεται δὲ ἡ Γέργεσα παροικία ἐκβεβλημένη (Ὠριγ. ΙΔ', 272), ἀφ' ἧς οἱ Γεργεσαῖοι (Αὐτόθ.).

**Γεργεσαῖοι·** κατῴκουν περὶ τὴν Γάδαραν καὶ Γέργεσαν, νῦν ἔρημον, παρακειμένην τῇ λίμνῃ Τιβεριάδος (Προκόπ. Γάζ. ΠΖ', 349).

**Γέργηθες,** οἱ τοῦ δήμου ἄνθρωποι παρὰ Μιλησίοις· καὶ ὅτι οἱ Γέργηθες στασιάσαντές ποτε πρὸς τοὺς πλουσίους καὶ ἡττηθέντες κατεκαύθησαν πίσσῃ καταχρισθέντες (Λ. Εὐστ.).

**Γέρην,** ἡ θήλεια γέρανος. Γερηνία, ὄνομα πόλεως. Γερήνιος Νέστωρ, Γερήνιος ποταμός. Γέρηνον, ὄνομα πόλεως (Λ. Εὐστ.).

**Γέρινοι** βάτραχοι καὶ γυρῖνοι, γυροὶ τὸ σχῆμα μήπω πόδας ἔχοντες, οὓς οἱ Ἴωνες γερίνους καλοῦσιν (Λ. Εὐστ.).

**Γερμανικὰ ἔθνη** χαλεπώτερα τῶν ἄλλων ἐθνῶν (Ζώσιμ. Ἱστ. ἔκδ. Βόνν., σελ. 29).

**Γερμανικὸς** μάρτυς Σμύρνης (Εὐσέβ. Κ', 344).

**Γερμανίων** ἐπίσκοπος Ἱεροσολύμων (Εὐσέβ. Κ', 541).

**Γερμανοὶ** ἀκρατοπόται, καὶ ἐπιπίνουσι τὸν οἶνον ἄκρατον. Ἔνθα περὶ τροφῶν καὶ βρωμάτων διαφόρων ἐθνῶν περιγραφή. Οἱ δὲ Ἠλεῖοι σοφισταὶ ὑδροποτήσαντες πάντα τὸν βίον, καὶ μόνα σῦκα προσφερόμενοι, οὐδενὸς ἧττον διέκειντο ἐρρωμένοι τοῖς σώμασι· τὸν δὲ ἱδρῶτα αὐτῶν οὕτως εἶναι δυσώδη, ὡς πάντας αὐτοὺς ἐκκλίνειν ἐν τοῖς βαλανείοις (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Γ', σελ. 129-130).

*Γερμανοί.* Γερμανῶν οἱ πλεῖστοι ἀγχονιμαίῳ μόρῳ ἀποθνήσκουσιν (Εὐσέβ. Περὶ δεισιδαιμονιῶν καὶ Εἱμαρμένης διαφόρων λαῶν καὶ ἐθνῶν ΚΑ', 464, 472-505).

*Γερμανοί.* Οὗτοι ἅπαντες, ὅσοι τὸ παλαιὸν ἀμφὶ Ῥῆνον ἑκατέρωθεν ποταμὸν ᾤκηντο. Ἰδίου μὲν τινος ὀνόματος ἕκαστοι μετελάγχανον, ὧν δὴ ἔθνος ἓν Γερμανοὶ ὀνομάζονται, ἐπὶ κοινῆς δὲ Γερμανοὶ ἐκαλοῦντο ἅπαντες (Προκόπ. Ἱστ. ἔκδ. Βόνν., τόμ. Β', σελ. 559).

*Γερμανὸς* Πρεσβύτερος πρὸς Θεόφιλον ἐστάλη παρὰ τοῦ Χρυσοστόμου (Χρυσόστ. ΝΒ', 531). Πρὸς Ἰννοκέντιον Πάπαν ἐστάλη φέρων τὰ γράμματα τοῦ κλήρου καὶ τοῦ λαοῦ τῆς Κωνσταντινουπόλεως (Αὐτόθ. 537).

*Γερμανὸς Α'*, Π. Κ/πόλεως (ϛΗ'). Συγγράμματα αὐτοῦ (ϛΗ',40-453, βλ. *Κλεῖδα*). Περίληψις βιογραφίας αὐτοῦ (ϛΗ', 36). Γερμανοῦ Π. Κ/πόλεως βίβλος (Φώτ. ΡΓ',1105). Ἐκλογὴ αὐτοῦ (Θεοφ. ἔκδ. Βόνν., σελ. 589).

*Γερμανὸς Β'*, Π. Κ/πόλεως. Τόμοι ἐκκλησιαστικοί (ΡΙΘ', 797-805). Ἐπιστολαὶ αὐτοῦ (ΡΜ', 593-613). Λόγοι αὐτοῦ (Αὐτόθ. 621-736).

**Γέρμη,** πόλις Ἑλλησπόντου (Σωκράτ. Ἐκκλ. Ἱστ. ΞΖ', 581).

**Γερμένιος** Παννονίας ἐπίσκοπος (Ἀθαν. ΚϚ', 681). Παρῆν ἐν τῇ ἐν Ἀριμήνῳ συνόδῳ (Αὐτόθ. 692).

**Γέρον,** προσφώνημα ἢ κατὰ θαυμασμὸν ἢ κατὰ βαρύτητα σκωπτικήν, ἢ κατ' οἰκτιρμὸν ἐπιλέγεται παρ' Ὁμήρῳ (Λ. Εὐστ.).

*Γέρον*, προσηγορικῶς, ξύλον τι, στυλίδι παραπλήσιον, ἔχον κεφαλὴν γεροντοειδῆ πλαστὴν καὶ χεῖρας, ἐξ ὧν ἐκρέματο τὰ νηθόμενα. Γέρον σάκος, τὸ παλαιὸν καὶ γηρᾶσαν, καὶ γέροντα πληθυντικῶς τὰ παλαιὰ καὶ ἀρχαῖα (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Β', σελ. 277-278).

**Γέροντες,** οἱ παλαιοὶ τῇ ἡλικίᾳ, οἱ ἔντιμοι, οἱ ἀριστεῖς, καὶ ἁπλῶς ἔντιμοι καὶ βασιλικοὶ ἄνδρες (Λ. Εὐστ.).

*Γέροντες* παλίμπαιδες. Δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ. Γερανταγωγῶ κἀναπαιδεύω πάλιν. Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ. Ἀποφθέγματα ποιητῶν, φιλοσόφων καὶ ῥητόρων παρὰ Κλήμεντι Ἀλεξανδρεῖ (Θ', 209, 233-401).

*Γέροντες.* Περὶ γερόντων καὶ παλαιῶν ἀνδρῶν, καὶ ὡς χρὴ τιμᾶσθαι αὐτούς (Ἱερὰ Παράλλ. Ἰωάνν. Δαμασκ. ϛΕ', 1305).

*Γέροντες.* Γερόντων θάνατος. Εἰ καὶ οἱ νέοι ἄδηλον ἔχουσι τὸ πέρας, ἀλλά γε οἱ γεγηρακότες πρόδηλον. Οἱ μὲν γάρ, εἰ καὶ οὐδένα αἰδεῖται ὁ θάνατος (κατὰ πάσης γὰρ

καὶ ἡλικίας καὶ ἀξίας χωρεῖ), ἀλλ' οὖν γε ἐλπίδα τινὰ ἔχουσιν εἰς γῆρας ἥξειν· οἱ δὲ οὐδὲν ἕτερον, ἢ τὸ γῆ γενέσθαι (κατὰ τὸ σῶμα γάρ φημι) προσδοκῶσιν. Τὸ γὰρ γῆρας εἴρηται παρὰ τὸ γῆν ἐρᾶν. Διὸ καὶ οἱ γεγηρακότες τρόπον τινὰ κυρτοῦνται καὶ κυρτοβατοῦσι, τὸ εἰς γῆν ἐπείγεσθαι διαμαρτυρόμενοι. Εἰ τοίνυν ταῦτα οὕτως ἔχει, δι' ἣν αἰτίαν ἐπὶ γήρως οὐδῷ νεωτερίζεις τοῖς ἀδικήμασιν; (Ἰσίδ. Πηλ. ΟΗ', 1473). Τίς οὖν σοι συγγνώμη λελείψεται, τῇ κακίᾳ συναποθανεῖν προῃρημένῳ; (Αὐτόθ. 1561).

**Γεροντίας** ἐλέγετο παρὰ Λάκωσιν ὁ πρὸς πατρὸς πάππος (Λ. Εὐστ.).

**Γεροντικῆς ἡλικίας** σκωπτικαὶ προσηγορίαι. Κρόνοι, Ἰαπετοί, Τιθωνοί, σαπροί, Βεκκεσέληνοι, τυμβογέροντες, πρωτοσέληνοι, παρεξημβλημένοι, ὅπερ ἐστὶν ὑπὸ γήρως ἀχρεῖοι, ἔτι δὲ σορόπληκτοι, σοροπλῆγες, καὶ σορέλληνες (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Δ', σελ. 325).

**Γερόντιος** πρεσβύτερος. Ἐπιστολὴ Χρυσοστόμου πρὸς αὐτόν (ΝΒ', 638).

*Γερόντιος* Ἐπίσκοπος ἐν Μακεδονίᾳ. Ἐπιστολὴ πρός τε αὐτὸν καὶ λοιποὺς Ἐπισκόπους Μακεδονίας (Χρυσόστ. ΝΒ', 706).

*Γερόντιος,* Ἐπίσκοπος Νικομηδείας καὶ τερατεῖαι αὐτοῦ (Σωζόμ. ΞΖ', 1529-1532).

**Γερόντοις** ἀντὶ γέρουσι κατὰ γλῶσσαν Αἰτωλῶν (Λ. Εὐστ.).

**Γερουσία** ἡ σύγκλητος, ὅτι ἐξ Ὁμήρου ἀφορμὴν ἔσχε τὸ ὄνομα (Λ. Εὐστ.).

**Γερουσίας** Ῥώμης προΐστατο ὁ ὕπαρχος, ὃς καὶ πολίαρχος καὶ ἀστυδίκης ἐκαλεῖτο, καὶ ὃν πάλαι πραίτωρα Οὐρβανὸν ἔλεγον (Ἰωάνν. Λυδ. ἔκδ. Βόνν., σελ. 10).

**Γερούσιος** οἶνος ὁ ἐν συμποσίῳ ἐντίμων γερόντων πινόμενος. Γερούσιος ὅρκος, ὁ τοῖς γέρουσι πρέπων (Λ. Εὐστ.).

**Γέρρον** δυσὶ **ρ,** γέρρον ἀσπίς, πρόβλημα, θυρεός, ἔτι δὲ γέρρα σκηνώματα, σκηνή. Περσικὰ ὅπλα ἐκ λύγων καὶ οἰσυΐνοι, φραγμός, καὶ φράγματα οἱ περιπεφραγμένοι τόποι γέρρον καλοῦνται· ἔτι γέρρον οἱ κωμικοὶ καλοῦσι καὶ τὸ τῶν ἀνδρῶν καὶ γυναικῶν μόριον· καὶ γέρρα βόεια (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Β', σελ. 278).

**Γέρων,** ἀποδημῶν ὑπὲρ τοῦ χρηματίζεσθαι ἐπιχειρεῖς, ὅτε εἰκὸς ἦν, εἰ καὶ πρότερον ἄλλοθί που διέτριβες, οἴκαδε ἐπανήκειν κ. ἑ. (Ἰσίδ. ΟΗ', 1392).

*Γέρων* ἀλαζὼν ἄδικα βιβλία ψύχει (Σχόλ. Θ', 781). Γέρων. Οὐ μόνον ἄρ', ὡς ἔοικεν, ὁ γέρων δὶς παῖς γένοιτ' ἄν, ἀλλὰ καὶ ὁ μεθυσθείς. Θεόπομπος. Γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. Ἀντιφῶν (Παρὰ Κλήμ. Ἀλεξ. Θ', 233).

*Γέρων.* Αἰσχρὸν γέροντα ἀφρονέστερον εἶναι νέου (Γρηγ. Ναζ. ΛΗ', 840). Γέρων καὶ Ποσειδῶν λέγεται παρ' Ὁμήρῳ (Αὐτόθ. 483).

*Γέρων.* Εἴδετε πολιὰν σφριγῶσαν, καὶ γῆρας ἀκμάζον; Ἐπὶ μὲν τῶν ἔξω πραγμάτων ὁ γέρων ἄχρηστος, εἰς οὐδὲν ἐπιτήδειος, ἀλλὰ πανταχοῦ συγγνώμης ἀπολαύει, διὰ ἀτονίαν μὴ δυνάμενος χρησιμεῦσαι τοῖς ἀναγκαίοις... κ. ἑ. Ἀλλ' οὐ τὰ τῆς Ἐκκλησίας τοιαῦτα, ἀλλ' ὅταν γηράσωσιν οἱ ἐν ἀρετῇ διάγοντες, τότε μᾶλλον χρήσιμοι καθίστανται· οὐ γὰρ σαρκῶν εὐτονία, ἀλλὰ πίστεως ἐπίτασις ζητεῖται κ. ἑ. (Χρυσόστ. Ν', 737).

*Γέρων* σεβάσμιος πότε. Πῶς γὰρ οὐκ ἄτοπον καὶ συγγνώμης ἐπέκεινα τὸ γενόμενον; Γέρων μεθύει, ἐν καπηλείοις καθέζεται, γέρων εἰς ἱπποδρομίας σπεύδει, γέρων εἰς θέατρα ἀναβαίνει. Ὄντως αἰσχύνη καὶ γέλως, τῇ μὲν πολιᾷ κοσμεῖσθαι ἔξωθεν, ἔνδοθεν δὲ παιδὸς φρόνημα ἔχειν κ. ἑ. (Χρυσόστ. ΞΓ', 65-68).

*Γέρων* ἀσελγὴς καὶ μοιχός, καὶ πλούσιος ψεύστης. Ἐπιτετευγμένως ἐρρέθη περὶ τῆς σῆς ἐνδοξότητος· «Δύο ταῦτα ἐμίσησα, γέροντα μοιχὸν καὶ πλούσιον ψεύστην» (Σιρὰχ κε', 2). Εἰ οὖν κατεγήρασας ἐν ἀτοπίαις καὶ ψεύδεσι, καὶ δόλοις, καὶ κατεδαπανήθης χορτασθεὶς ἡμερῶν κακῶν, γνῶθι σαυτόν (Νεῖλ. ΟΘ', 316)· καὶ ἐπειδὴ τὸ σῶμα γεγήρακας, ἀλλ' οὖν γε τῇ βδελυγμίᾳ ἀκμάζεις, καὶ νεάζεις τῇ ἐπαράτῳ ἐπιθυμίᾳ ἐκ νέας ἡλικίας μέχρι βαθέος γήρως προσπαραμένεις ἀκορέστως τῇ λυσσώδει πορνείᾳ. Καὶ ἐπὶ σοὶ πληροῦται ἡ παροιμία ἡ λέγουσα ὅτι «πάθος ψυχῆς πονηρὸν οὐδέποτε γηράσκει» (Αὐτόθ. ΟΘ', 365). Ὅπως λοιπὸν παυσάμενος πορνείας καὶ ἀναπαυσάμενος δυνηθῇς εἰπεῖν, ὅτι ὑποκάτωθεν ἐταράχθη ἡ ἕξις μου, διὸ ἀναπαύσομαι πρὸς τὴν τελευτὴν βλέπων (Αὐτόθ.).

*Γέρων*. Ἐάν τίς ἐστι γέρων, ἢ ἀδύνατος καὶ ὀλιγόψυχος, καὶ μονάσαι ἢ τὰς τῶν μοναχῶν σκληραγωγίας καὶ τὸν αὐστηρὸν βίον μετελθεῖν οὐ δύναται, πῶς οὗτος δυνήσεται μετανοῆσαι καὶ σωθῆναι; Ἀπόκρ. καὶ διδασκαλία πάνυ ὠφέλιμος καὶ σωτήριος παντὶ ἁρμόζουσα ἔκ τε τῶν θείων Γραφῶν καὶ τῶν ἁγίων Πατέρων (Ἀναστ. Σιν. ΠΘ', 361-369 καὶ 756).

*Γέρων* ἡλικίας ἀνθρώπου ὄνομα· ἀλλὰ γέρων καὶ ἀκάνθης ἐπάνθημα, κατὰ τὸν Δειπνοσοφιστήν, ἐφ' ᾧ καὶ αἴνιγμα ἦν τὸ «Κἂν γέρων ᾖ, ἄπτερος ὤν, κοῦφον πέτεται» κ. ἑ. καὶ πάππος ἐκλήθη, λευκῆς γήρειον ἀκάνθης ὢν κατὰ τὸν Ἄρατον (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Δ', σελ. 347).

*Γέρων* οἶνος· γέρων ἐπιφώνημα· γέρων ποταμός· γέρων παρὰ τὸ γέρας (Λ. Εὐστ.).

**Γέσσιος,** ἰατροφιλόσοφος καὶ τὰ κατ' αὐτόν (Ζαχαρ. Μιτυλ. ΠΕ', 1060 καὶ ἐν σημειώσεσιν αὐτόθ. ὁ βίος αὐτοῦ).

**Γεσών,** εἷς τῶν υἱῶν Λευὶ ὁ πρῶτος ἐν τοῖς πλείστοις τῶν χειρογράφων ὠνόμασται, ἀντὶ Γηρσών, ὁμώνυμος τυγχάνων τῷ πρωτοτόκῳ Μωϋσέως· περὶ ἑβραϊκῶν ὀνομάτων (Ὠριγ. ΙΔ', 272).

**Γέται,** ἔθνος· οἰκοῦσι τὴν Θρᾴκην ποταμῷ τῷ Ἴστρῳ παροικοῦντες, οἳ τοῦ Πυθαγόρου θεράποντα Ζάλμοξιν, φυγάδα γενόμενον, καὶ τὴν τοῦ δεσπότου φιλοσοφίαν ὑποκρινόμενον, μόνον θεὸν ἄγουσιν (Αἰν. Γαζ. ΠΕ', 940). Ὅτι μετὰ κιθάρας ἐπεκηρυκεύοντο ἐπὶ πραΰνσει τῶν πολεμίων (Λ. Εὐστ.). Γέται Σκύθαι. Οἱ μὲν πάλαι Γέτας, οἱ δὲ νῦν Γότθους καλοῦσιν (Φιλοστόργ. Ἐκκλ. Ἱστορ. ΞΕ', 468).

*Γέται*, Μυσοί, Τριβαλλοί, οἱ καὶ Δάρδανοι (Ζωναρ. ΡΛΔ').

**Γέτας,** κύριον, υἱὸς αὐτοκράτορος Σεβήρου, ὃν ὁ ἀδελφὸς Ἀντωνῖνος ἐν ταῖς ἀγκάλαις τῆς μητρὸς ἐφόνευσεν (Ζώσιμ. ἔκδ. Βόνν., σελ. 15).

**Γετική,** ἡ ὕστερον Δακία (Ζωναρ. ἔκδ. Βόνν., τόμ. Β', σελ. 597).

**Γεῦμα** ἐν ῥήμασι κενοῖς, εἴ ἐστι γεῦμα· δύο, οἶμαι, μηνύειν· ἢ ὅτι τὸ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται· οὐ γὰρ ἅπτεται τῆς τοῦ ἀκούοντος διανοίας· ἢ ὅτι χρὴ μετρίοις ἅλασι τὸν λόγον ἠρτῦσθαι, ἵνα καὶ ἡδὺς ᾖ τοῖς εὐγνώμοσι καὶ τρόφιμος καὶ καθάπτηται τῆς τῶν ἀκουόντων διανοίας (Ἰσίδ. Πηλ. ΟΗ', 1100).

**Γεύεσθαι.** Λάρυγξ μὲν γεύεται σῖτα, νοῦς δὲ ῥήματα διακρίνει (Ἰὼβ ιβ', 11), ὅπερ ἐστὶν ἐπὶ τῶν βρωμάτων ἡ αἴσθησις τῆς ποιότητος ἑκάστου βρώματος, τοῦτό ἐστιν ἐπὶ τῶν ῥημάτων τῆς ἁγίας Γραφῆς ἡ σύνεσις (Βασίλ. ΛΑ', 1280).

**Γεύσασθαι θανάτου,** καὶ ὄψεσθαι θάνατον κατὰ τί διαφέρουσιν; Ἑρμηνεία (Ὠριγ. ΙΔ', 673-677).

**Γεῦσις.** Τί ἐμφαίνει ἡ γευστικὴ παρὰ τοῖς ἀγγέλοις; τὴν τῶν νοητῶν ἀποπλήρωσιν, καὶ τὸ τῶν θείων καὶ τροφίμων ὀχετῶν ὑποδεκτικόν (Διον. Ἀρεοπ. Γ', 332).

*Γεῦσις*· ὅτι δεῖ πάντων τῶν παρατιθεμένων ἀπογεύεσθαι, καὶ πῶς. Ἀπόκρ. (Βασίλ. ΛΑ', 965-976).

*Γεῦσις*, αἰσθητήριον. Φυσιολογικαὶ ἐνέργειαι (Νεμέσ. Μ', 656). Περὶ τροφῶν καὶ ποτῶν (Μελέτ. μοναχ. ΞΔ', 1092-1100).

**Γέφυρα,** ὅτι διὰ τὸ οἱονεὶ γῆ ἐφ' ὑγρᾶς εἶναι οὕτω λέγεται. Γέφυρα ἡ καὶ Τάναγρα πόλις, τὸ ἐθνικὸν Γεφυραῖος.

**Γέφυροι,** γένος τι οὕτως ἐπικληθὲν ἐξ ἱστορίας τινός (Ἱστορία ἐν Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Γ', σελ. 153).

**Γεωγραφικὸς** πίναξ Αἰγύπτου (ΚΕ', LIII=53).

**Γεώλοφος,** σκῶμμα κατὰ παχέος καὶ ἀναισθήτου ἀνθρώπου (Λ. Εὐστ.).

**Γεωπείνης** ὁ περὶ γῆν πονούμενος (Λ. Εὐστ.).

**Γεωμέτρης** Ἰωάννης (ΡϚ', 805-1002).

**Γεωμετρία.** Περὶ Γεωμετρίας καὶ Ἀστρονομίας καὶ Λογισμῶν. Ἀπὸ τῶν Ἀπομνημάτων Ξενοφῶντος (Εὐσέβ. ΚΑ', 1221 κ. ἑ.).

**Γεωμετρίας εὑρεταὶ** Αἰγύπτιοι. Ἀστρονομίας Βαβυλώνιοι. Μαγείας Πέρσαι κ. ἑ. (Γρηγ. Ναζ. ΛΕ', 645. - Νόνν. ΛϚ', 1821. Κοσμ. Ἱεροσ. ΛΗ', 491. - Βασίλ. ΛΑ', 397).

**Γεῶραι.** Παρ' Ἑβραίοις Γεῶραι ἢ Γειῶραι ἐκαλοῦντο οἱ προσήλυτοι καὶ οἱ ἐπίμικτοι (Εὐσέβ. Κ', 96-97.— Θεοδώρ. Π', 250). Γεῶραι, ἑτερόχθονες, προσήλυτοι (Ἀλέξ. μοναχ. ΠΖ', 4029).

**Γεωργεῖν** ποσαχῶς (Θεοδώρητ. ΠΔ', 918).

**Γεωργηθέντες** τόποι εἰς τὸν Χριστιανισμόν. Ὅρα ζέουσαν ψυχήν· τοὺς τόπους ἐσπούδαζε καταλαμβάνειν ὁ Παῦλος τοὺς οὐδέπω γεωργηθέντας, ἀλλ' ἀγριώτερον ἔτι διακειμένους κ. ἑ. (Χρυσόστ. ΞΑ', 630). Ἀκουέτωσαν οἱ Διαμαρτυρόμενοι καὶ οἱ Παπισταὶ ποῦ πρέπει νὰ διδάσκωσι τὸν Χριστιανισμόν, καὶ οὐχὶ νὰ σπείρωσι ζιζάνια εἰς τοὺς Ὀρθοδόξους.

**Γεωργία** συμφορῶν (Γρηγ. Ναζ. ΛϚ', 544).

*Γεωργία*. Ἡ γεωργία καὶ ἀναγκαία, καὶ πασῶν τεχνῶν μήτηρ ἐστὶ καὶ τροφός. Μήτοι τοίνυν αἰσχύνου ἐπὶ τῷ πράγματι, ἀλλὰ σεμνύνου, ἀναγκαιοτάτην καὶ χρησιμωτάτην τέχνην μεταχειρισάμενος. Οἱ γὰρ τὰς πρὸς ἡδονὴν μετιόντες ἐρυθριᾶν ἂν εἶεν δίκαιον (Ἰσίδ. Πηλ. ΟΗ', 1381-1384). Τοῖς ἄριστα γεωπονεῖν εἰθισμένοις ἕποιτο ἂν εἰκότως τὸ ἐπαινεῖσθαι δεῖν (Κύριλλ. Ἀλεξ. ΠϚ', 2072).

*Γεωργία*. Περὶ γεωργίας καὶ γεωργῶν· καὶ ὅτι καλὸν τὸ ἐργάζεσθαι (Ἱερὰ Παράλλ. Ἰωάνν. Δαμασκ. ϞΕ', 1308-1309).

**Γεωργίας** ἐφεύρεσις, καὶ ναυπηγίας (Νόνν. ΛϚ', 1020.—Γρηγ. Ναζ. ΛΕ', 644).

**Γεωργίδης** Ἰωάννης μοναχός. Γνωμολόγιον αὐτοῦ (ΡΙΖ', 1057).

**Γεώργιον,** μικρὸν καὶ πενιχρόν, γεωργούμενον πνευματικῶς γίνεται μέγα καὶ λαμπρόν (Γρηγ. Ναζ. ΛϚ', 461 κ. ἑ.).

**Γεώργιος** πρεσβύτερος δοκιμώτατος τὴν πίστιν ἐν Ἀλεξανδρείᾳ (Εὐσέβ. Κ', 1137).

*Γεώργιος* Καππάδοξ. Καὶ περὶ μὲν τοῦ Γεωργίου τοῦ Καππάδοκος τοῦ ἐκβληθέντος ἀπὸ τῆς Ἀλεξανδρείας λόγος οὐδεὶς ἀνθρώπου, μήτε ἐκ προάγοντος βίου τὴν μαρτυρίαν ἔχοντος, μήτε ὅλως Χριστιανοῦ τυγχάνοντος· ἀλλὰ μόνον ὑποκριναμένου διὰ τὸν καιρὸν τὸ ὄνομα, καὶ πορισμὸν ἡγησαμένου τὴν εὐσέβειαν. Διὸ οὐδὲ μέμψαιτο ἄν τις αὐτὸν εἰκότως πταίοντα περὶ τὴν πίστιν, ἄνθρωπον μήτε εἰδότα περὶ ὧν λέγει, μήτε περὶ ὧν διαβεβαιοῦται, ἀλλὰ πᾶσι, κατὰ τὸ γεγραμμένον, ὡς κέπφον ἐπακολουθοῦντα (Ἀθαν. Α', 578, σημ. ΚϚ', 757). Κέπφος εἶδος ὀρνέου κουφοτάτου, περὶ τὴν θάλασσαν διατρίβοντος, ὃ εὐχερῶς ὑπὸ ἀνέμου μετάγεται. Ἔνθεν λέγεται ὀξὺς καὶ κοῦφος ἄνθρωπος (Ἡσύχ.).

Ἐπέμφθη ὑπὸ Κωνσταντίου εἰς Ἀλεξάνδρειαν (Ἀθαν. ΚΕ', 784). Εἰδωλολάτρης, διώκτης καὶ ἅρπαξ ἦν (Αὐτόθ. 553—556). Κακουργήματα αὐτοῦ ἐν Ἀλεξανδρείᾳ (Αὐτόθ. 652). Καθῃρέθη ἐν τῇ κατὰ Σαρδικὴν συνόδῳ (Αὐτόθ. 677.—Θεοδώρ. Ἐκκλ. Ἱστ. ΠΒ', 1022-1029). Γεώργιος Καππάδοξ. Τέρας τι Καππαδόκιον, ἐκ τῶν ἐσχατιῶν τῶν ἡμετέρων ὁρμώμενον, πονηρὸν τὸ γένος, πονηρότερον τὴν διάνοιαν, οὐδὲ παντελῶς ἐλεύθερον, ἀλλ' ἐπίμικτον, οἷον τὸ τῶν ἡμιόνων γινώσκομεν (Γρηγ. Ναζ. ΛΕ', 1097). Ἐχθρὸς τοῦ Μ. Ἀθανασίου, καὶ ἅρπαξ τοῦ θρόνου αὐτοῦ (Αὐτόθ. 1096-1097). Ἐξορισθέντος Ἀθανασίου, Αἴγυπτον καὶ Συρίαν λεηλατεῖ (Αὐτόθ. 1104). Λειτουργὸς τοῦ Διαβόλου, πρόδρομος τοῦ Ἀντιχρίστου (Αὐτόθ. 1105). Πράξεις αὐτοῦ (Αὐτόθ.). Οἵαν εἰσεπράξατο δίκην τῶν κακῶν αὐτοῦ (Αὐτόθ. 1113). Καταγωγὴ αὐτοῦ καὶ ἐπάγγελμα (Αὐτόθ. 1097).

*Γεώργιος* Ἀλεξανδρείας ἐπίσκοπος Ἀρειανῶν καὶ Μελετιανῶν ἅμα ἐπὶ Ἰουλιανοῦ ἦν. Πολλὰ πέπονθεν ὑπὸ Ἑλλήνων. Ἀέτιον τὸν αἱρεσιάρχην διάκονον προήγαγεν. Ἐθανατώθη λίαν οἰκτρῶς ὑπὸ τοῦ δήμου Ἀλεξανδρέων διὰ τὰς ἁρπαγάς, πολλὰς ἀδικίας καὶ αἰσχρότητας κ. ἑ. (Ἐπιφ. ΜΒ', 516-517). Οἱ δὲ τὸν Γεώργιον τῆς Ἐκκλησίας ἐκσύραντες, καμήλῳ τε προσδήσαντες καὶ σπαράξαντες, σὺν αὐτῇ κατέκαυσαν (Σωκρ. Ἐκκλ. Ἱστορ. ΞΖ', 380-381).

*Γεώργιος* Λαοδικείας ἐπίσκοπος τί πρὸς τοὺς Ὀρθοδόξους, καὶ τί πρὸς τοὺς Ἀρειανοὺς ἔγραψεν (Ἀθαν. ΚϚ', 712). Καθῃρέθη ὑπὸ Ἀλεξάνδρου (Αὐτόθ. 713). Φόβῳ οὐ τολμᾷ εἰς τὴν Σαρδικὴν ἐλθεῖν (ΚΕ', 336). Καθαιρεῖται ὑπὸ τῆς συνόδου αὐτῆς (Αὐτόθ. 309). Κατηγόρει Ἀθανάσιον καὶ ἐλοιδόρει αὐτὸν ἐπὶ δειλίᾳ διὰ τὴν φυγήν (Αὐτόθ. 645.—Γρηγ. Νύσσ. ΜΕ', 260).

*Γεώργιος* Ταρβασθηνίτης τὸν λαὸν Ἀθανασίου διέσπα (Γρηγ. Νύσσ. ΜΕ', 264).

*Γεώργιος,* εἷς τῶν ἀρχηγῶν τῶν Ἀνομοίων

(Βασίλ. ΛΒʹ, 936). Προσέλευσις καὶ μετάνοια αὐτοῦ ἐπὶ τῇ κακοδοξίᾳ (Αὐτόθ. 389).

*Γεώργιος* Διάκονος. Ἐπιστολὴ Γρηγορίου πρὸς αὐτὸν περί τινος Φιλαδελφίου, λέγοντος, ὅτι τὸ ἀρρωστοῦν θεραπεύεται, ἀλλ' οὐ συντρίβεται (Γρηγ. Ναζ. ΛΖʹ, 253). Συνιστᾷ αὐτὸν Ἀστερίῳ καὶ Νεκταρίῳ (Αὐτόθ. 256-257).

*Γεώργιος*, φίλος Γρηγορίου. Ἐπίγραμμα εἰς αὐτόν (ΛΗʹ, 76).

*Γεώργιος* Πισίδας, διάκονος Κωνσταντινουπόλεως (ϞΒʹ, 1161-1782).

*Γεώργιος* Μοναχός. Βίοι τῶν νέων Βασιλέων (ΡΘʹ, 824-981).

*Γεώργιος* Ἁμαρτωλός. Χρονικόν (ΡΙʹ, 9—1285).

*Γεώργιος* Νικομηδείας. Λόγοι καὶ Ἰδιόμελα (Ρʹ, 1336-1529).

*Γεώργιος* Κεδρηνός. Σύνοψις Ἱστοριῶν τόμοι δύο (ΡΚΑʹ, 9-1166. ΡΚΒʹ, 11-368).

*Γεώργιος* Ξιφιλῖνος Π. Κ/πόλεως. Περὶ ἐνοριακῶν δικαίων (ΡΙΘʹ, 888. ΡΛΕʹ, 437).

*Γεώργιος* Παχυμέρης. Μετάφρασις εἰς τὰ τοῦ Διονυσίου Ἀρεοπαγίτου (Γʹ). Μετάφρασις εἰς τὰς ἐπιστολὰς τοῦ αὐτοῦ (Δʹ, 433—509). Ἱστορία (ΡΜΓʹ, 407-1357).

*Γεώργιος* Ἀκροπολίτης. Χρονικὴ συγγραφή (ΡΜʹ, 957-1221).

*Γεώργιος* Κύπριος, καὶ μετὰ ταῦτα Γρηγόριος. Πατριάρχης Κωνσταντινουπόλεως. Συγγράμματα αὐτοῦ (ΡΜΒʹ, 9-445).

*Γεώργιος* Λαπίθας. Στίχοι πολιτικοὶ αὐτοσχέδιοι (ΡΜΘʹ, 1001-1009).

*Γεώργιος* Φραντζῆς. Ἱστορία (ΡΝϚʹ, 531—1025).

*Γεώργιος* Κωδινός. Περὶ ὀφφικίων τοῦ παλατίου Κωνσταντινουπόλεως καὶ ὀφφικίων τῆς Μεγάλης Ἐκκλησίας (ΡΝΖʹ, 9-725).

*Γεώργιος* Μετοχίτης, διάκονος τῆς Μεγάλης Ἐκκλησίας. Ἀντιρρήσεις περὶ τοῦ ἁγίου Πνεύματος (ΡΜΑʹ, 1275-1417).

*Γεώργιος* Ἀλεξανδρείας εἰς βίον Χρυσοστόμου (Φώτ. ΡΓʹ, 341).

*Γεώργιος* Σχολάριος, ὁ μετὰ ταῦτα Γεννάδιος, Π. Κ/πόλεως. Περὶ τοῦ βίου καὶ τῶν συγγραμμάτων αὐτοῦ (ΡΞʹ, 249-768).

*Γεώργιος* Γεμιστὸς ἢ Πλήθων. Συγγράμματα αὐτοῦ (ΡΞʹ, 773-980).

*Γεώργιος* Τραπεζούντιος. Συγγράμματα αὐτοῦ (ΡΞΑʹ, 745-896).

*Γεώργιος* Ἀμιρούτζης πρὸς Βησσαρίωνα (ΡΞΑʹ, 725).

*Γεώργιος* Παλαιολόγος. Ἐπιστολὴ αὐτοῦ (ΡΞΑʹ, 1017).

*Γεώργιος*. Ἐγκώμιον εἰς τὸν ἅγιον μεγαλομάρτυρα Γεώργιον (Ἀνδρ. Κρήτης ϞΖʹ, 1169-1192).

**Γῆ**, ὅτι κοινὴ πάντων τῶν θεῶν, καὶ οὐδενὶ αὐτῶν ἀπεκληρώθη ἐν τῇ τῶν πάντων μυθευομένῃ διανομῇ. Ἀλληγορία διεξοδική (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Γʹ, σελ. 260).

*Γῆ*, ὅτι ἡ γῆ φωνὴ χρήσιμος εἰς σκῶμμα μεγαλοσωμάτων καὶ ἀναισθήτων ἀνθρώπων. γῆ, ὅτι διὰ τὸ μονῆρές τι σημαίνειν οὐ κινεῖται εἰς πληθυντικὸν ἀριθμὸν ἡ λέξις.

*Γῆ* στυγερὴ ἐπιθετικῶς ἡ ἐν Ἅδου. Γῆ ἐκ τοῦ γέα (Λ. Εὐστ.).

*Γῆ*. Περὶ τῆς ἐπουρανίου γῆς κατὰ Πλάτωνα (Εὐσέβ. ΚΑʹ, 940-914). Περὶ θέσεως, κινήσεως καὶ σχήματος αὐτῆς κατὰ τὰς τῶν φιλοσόφων δόξας (Αὐτόθ. 1397-1400).

*Γῆ* ἐν τῷ μέσῳ ἐστὶ τοῦ παντός (Ἀθαν. ΚΕʹ, 53). Ἀκίνητός ἐστιν (Αὐτόθ. 72).

*Γῆ*. Περὶ τοῦ «Ἀόρατος ἦν ἡ γῆ καὶ ἀκατασκεύαστος» (Βασίλ. ΚΘʹ, 28 κ. ἑ.).

*Γῆ*, πῆξις ὕλης τῷ πόλῳ κυκλουμένης (Γρηγ. Ναζ. ΛΖʹ, 947). Ἡ γῆ ἄψυχος ἢ ἔμψυχος; ἄψυχος κ. ἑ. Ἀπόκρ. (Καισάρ. ΛΗʹ, 965-985 κ. ἑ.).

*Γῆ* ἢ ἀφ' ἑαυτῆς ἀπῃωρημένη ἐστίν, ἢ ἐπὶ τοῦ ὕδατος (Βασίλ. ΚΘʹ, 24). Τινὲς τῶν φυσικῶν πῶς τὴν ἀκινησίαν αὐτῆς, καὶ πῶς τὴν μέσην τοῦ παντὸς χώραν κατέχειν ἐξηγοῦσιν (Αὐτόθ.). Πῦρ, ἀὴρ καὶ ὕδωρ ἐν αὐτῇ εὑρίσκεται (Αὐτόθ. 20). Ἡ πυκνότης καὶ αἱ ἰδιότητες αὐτῆς τὴν οὐσίαν αὐτῇ συνιστᾶσιν· ὧν ὑπεξαιρεθεισῶν, οὐδὲν ὑπολείπεται (Αὐτόθ. 21). Ἐπὶ τοῦ ἀέρος ἐδράζεται, ἐπὶ τοῦ ὕδατος, ἢ ἐπὶ ἄλλου τινὸς σώματος; ἄδηλον. Καθ' ἑαυτὴν ἀπαιωρεῖται; ἄγνωστον. Ἐπιτιθέναι ὀφείλομεν ὅρια τῇ διανοίᾳ καὶ μὴ πολυπραγμονεῖν (Αὐτόθ. 21). Ἀόρατος ἦν ἐν ἀρχῇ, ἐπεὶ οὔπω τὸ φῶς, οὐδὲ ἄνθρωπος ἐπλάσθη, ἀλλ' ἐν τῷ ὕδατι ἦν βεβυθισμένη (Αὐτόθ. 28). Τὰ πέρατα τῆς γῆς ἐν ταῖς χερσὶ τοῦ Θεοῦ πῶς νοητέον (Αὐτόθ. 24).

Ἐν τῇ δημιουργίᾳ ἀτελὴς ἦν καὶ ἀκατασκεύαστος, ἐπειδὴ οὔπω γόνιμος ἦν (Αὐτόθ. 28). Ἀόρατος ἦν ἡ γῆ οὐ τῇ ὄψει τῆς φύσεως, ἀλλὰ τῇ ὄψει ἡμῶν, ὅτι λέγει «Συναχθήτωσαν τὰ ὕδατα» κ. ἑ. (Αὐτόθ. 329). Τὸ «Βλαστησάτω ἡ γῆ» ἔτι καὶ νῦν καθ' ἕκαστον ἔτος ἀναφαίνεται (Αὐτόθ. 110). Μανιχαῖοι ἔμψυχον ἡγοῦντο τὴν γῆν (Αὐτόθ. 164). Διὰ τί ἡ γῆ προσετάχθη ψυχὴν ζῶσαν παραγαγεῖν, τὰ δὲ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν (Αὐτόθ. 164). Οἱ μὲν σφαῖραν ταύτην ᾠήθησαν, οἱ δὲ κύλινδρον, ἄλλοι δίσκον, ἄλλοι λικνοειδῆ καὶ μεσόκοιλον, ἄλλοι δέκα καὶ ὀκτὼ μυριάδας τὸ περίμετρον αὐτῆς (Αὐτόθ. 188-189).

*Γῆ*. Ἐθεμελιώθη ἐπὶ τῶν ὑδάτων (Χρυσόστ. ΝΓ', 100-102). Οὐκ ἐδημιουργήθη ἐξ ὑπαρχούσης ὕλης. Ἀπόδειξις (Αὐτόθ. ΝΓ', 30). Ἐκ τῶν μὴ ὄντων παρήχθη (ΝΔ', 583—584). Διὰ τί ἄμορφος ἐδημιουργήθη, ὁ δὲ οὐρανὸς τέλειος κατεσκευάσθη (ΝΓ', 30). Οὐ περιστρέφεται ἡ γῆ, ἀλλ' ἵσταται στερεά, κατὰ τὸν Χρυσόστομον (ΞΒ', 680. ΝϚ', 438-442).

*Γῆ* τροφός, μήτηρ, πατρὶς ἡμετέρα ἐστὶ καὶ κοινὸς τάφος (ΝΓ', 33, 77).

*Γῆ*. Καὶ πῶς ἐγένετο τὰ μὴ ὄντα; μὴ αὐτοματισμὸς ἦν; τὸ μὴ ὂν ὄνομά ἐστιν, οὐκ ἔστι δέ τι; Μή, ἐπειδὴ λέγω ἐκ μὴ ὄντων, νομίσῃς εἶναί τι μὴ ὄν. Εἶτα τὸ ὂν ἐκ τοῦ μὴ ὄντος οὐκ οἶδα εἰπεῖν πῶς ἐγένετο, καὶ τὸν ὄντα ἐκ τοῦ ὄντος τολμήσεις πολυπραγμονεῖν πῶς ἐγεννήθη; Ἡ δὲ γῆ ἦν ἀόρατος, φησίν. Τί ἐστιν «Ἀόρατος»; Οἶδα πολλοὺς τῶν ἁγίων Πατέρων εἰρηκότας «Ἀόρατος ἦν ἡ γῆ», ἐπειδὴ τῷ ὕδατι ἐκαλύπτετο. Πολλὰ τῶν νοημάτων ἐστὶ μὲν εὐσεβῆ, οὐκ ἀληθῆ δέ. Ἡ δὲ γῆ ἦν κένωμα καὶ οὐδέν. Ἀόρατος δὲ λέγεται, οὐχ ὅτι οὐκ ἐφαίνετο, ἀλλ', ὡς ἂν εἴποι τις, ἀκόσμητος κ.ἑ. (Σεβηρ. ΝϚ', 441-442). Γῆ, Γῆ, γῆ, γράψον τὸν ἄνδρα τοῦτον, ἄνδρα ἐκκήρυκτον (Ἱερ. κβ', 29, 30. — Χρυσόστ. ΝϚ', 15).

Ἡ δὲ γῆ ἦν. Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; Ἠλίθιον ἄγαν καὶ ἀνόητον τὸ ἐρώτημα. Ὁ γὰρ εἰπών· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν», οὐκ ἀΐδιον ἔφη τὴν γῆν κ. ἑ. (Θεοδώρ. Π', 84 κ. ἑ.—Φώτ. ΡΑ', 1053).

*Γῆ* ἀόρατος. Διὰ τί ἀόρατον τὴν γῆν ὁ Μωσῆς ὠνόμασεν; Πραγματεία (Φώτ. ΡΑ', 137-140).

*Γῆ*. Τὸ ζητεῖν περὶ γῆς, ἢ κύλινδρός ἐστιν, ἢ λικνοειδής, ἢ κέντρον τοῦ παντός, καὶ τὸ τὰ ἐκείνου (ἡλίου) ἢ ταύτης διαστήματα εἰδέναι, τί συμβάλλεται εἰς τὴν ἀρίστην πολιτείαν, ἐγὼ μὲν οὐ συνορῶ. Εἰ δέ τις λέγειν ἔχει, λέξει μὲν ἴσως, οὐ πείσει δὲ κ. ἑ. καθὰ καὶ Σωκράτης ἔλεγεν (Ἰσίδ. Πηλ. ΟΗ', 704).

Ἡ *γῆ* οὐ κλιθήσεται εἰς τὸν αἰῶνα (Ψαλμ. δ', 5). Ἐπειδὴ τὸ περὶ γῆς εἰρημένον «Οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος» παραβάλλων τῷ «Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν» (Ψαλμ. ργ', 32) ἐνόμισας ἐναντίον τι μηνύειν, ἴσθι, ὅτι σαλευθήσεται μέν, ἵνα δείξῃ τὸν φόβον· οὐ κλιθήσεται δέ, ἵνα δείξῃ τὸν ὅρον. Τῷ μὲν τρόμῳ τὴν δουλείαν ὁμολογεῖ· τῷ δὲ μὴ ἐξίστασθαι τῆς οἰκείας στάσεως, τὸν θεῖον ὅρον μηνύει (Ἰσίδ. Πηλ. ΟΗ', 1173).

*Γῆ* ῥέουσα μέλι καὶ γάλα. Τί λέγει ἡ γνῶσις μάθετε. Ἐλπίσατε, φησίν, ἐπὶ τὸν ἐν σαρκὶ μέλλοντα φανεροῦσθαι ὑμῖν Ἰησοῦν κ. ἑ. (Βαρνάβ. Β', 740).

*Γῆ* τῆς ἐπαγγελίας. Τίνες οἱ ἐπισκεψάμενοι αὐτήν, καὶ εἰς τίνας ῥέει μέλι καὶ γάλα (Κύριλλ. Ἀλεξ. ΞΘ', 605 κ. ἑ.). Γῆ ἀγαθὴ τίνες; Εἴη δ' ἂν γῆ πίων καὶ εὔτοκος, ποιοῦσα καρπὸν ἑκατονταπλασίονα, ψυχαὶ καλαὶ καὶ ἀγαθαί, εἰς βάθος δεχόμεναι τὰ τοῦ λόγου σπέρματα, καὶ κατέχουσαι, καὶ γενναίως τρέφουσαι. Περὶ τῶν τοιούτων ἂν λέγοιτο καὶ μάλα δικαίως· «Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη, διότι ἐγένεσθε ὑμεῖς γῆ θελητή» (Μαλαχ. γ', 12). Ὅταν γὰρ εἰς νοῦν καθαρὸν τῶν παρενοχλεῖν εἰωθότων θεῖός ποτε λόγος κατενεχθῇ, τότε δίδωσι ῥίζαν εἰς βάθος, καὶ ἀστάχυος δίκην ἐπιπηδᾷ, καὶ τελεσφορεῖται καλῶς (Κύριλλ. Ἀλεξ. ΟΒ', 628 κ. ἑ.).

Τοὺς εὐσεβείᾳ συντεθραμμένους καὶ τῶν θείων δογμάτων ἀκριβῆ καὶ τετορνευμένην ἔχοντας γνῶσιν, γῆν θελητὴν ὁ Προφήτης ὀνομάζει (Μαλαχ. γ', 12). Γῆν θελητὴν εἶναί φησι τὴν γονιμωτάτην καὶ εὔκαρπον καὶ καρπῶν ἡμέρων μητέρα καὶ τροφόν· τοιαύτη δὲ πᾶσά ἐστι θεοφιλὴς καὶ ὁσία ψυχή, γεωρ-

γὸν ὥσπερ τινὰ καὶ σπορέα παντὸς ἀγαθοῦ τὸν τῶν ὅλων Σωτῆρα λαβοῦσα Χριστὸν κ. ἑ. (Κύριλλ. Ἀλεξ. ΟΖ', 1096).

*Γῆ* τῆς ἐπαγγελίας. Γῆ τῆς ὑποσχέσεώς ἐστιν ἡ Χαναναία· ταύτην γὰρ τὴν κατάσχεσιν τῷ Ἀβραὰμ διδόναι καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, εἶπεν ὁ Θεός. Ταύτην ᾤκουν τὴν γῆν ἔθνη ἑπτά, Ἀμορραῖοι, Χαναναῖοι, Χετταῖοι, Φερεζαῖοι, Γεργεσαῖοι, Εὐαῖοι, Ἰεβουσαῖοι. Τούτους πάντας ἐξελὼν ὁ Θεὸς ἀπὸ προσώπου Ἰσραὴλ τὴν γῆν αὐτῶν τῷ τοῦ Ἀβραὰμ κατεκληρονόμησε σπέρματι, ὡς ὑπέσχετο καὶ κατένευσεν (Κοσμ. Ἱεροσ. ΛΗ', 390).

*Γῆ*. Ἐμὴ γάρ ἐστι, φησίν, ἡ γῆ. Διὰ τί τῷ ἑβδόμῳ ἔτει σπεῖραι τὴν γῆν ἀπαγορεύει; (Θεοδώρ. Π', 344-345). Σαββατιεῖ ἡ γῆ τί ἐστιν; (Αὐτόθ. 348).

Ἡ γῆ ἓν τῶν τεσσάρων στοιχείων ἐστί, ξηρόν τε καὶ ψυχρὸν καὶ βαρὺ καὶ ἀκίνητον κ. ἑ. μετὰ Γραφικῶν χωρίων (Ἰωάνν. Δαμασκ. ϞΔ', 908).

*Γῆ*. Ἐπειδὴ κατάρας ἦν ἡ ἄκανθα γεώργιον, ἣν ἡ γῆ κατεδικάσθη μετὰ τὴν ἡμετέραν παράβασιν, πᾶσαν δὲ θεραπεῦσαι ἐν ἑαυτῷ ὁ Κύριος παρεγένετο· τούτου χάριν ἀκάνθαις ὡς νικηφόρος ἐστεφανώσατο κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 248).

*Γῆ* Σατανᾶ καὶ γῆ ἀγγέλων. Γῆ τετραπόδων, γῆ ἐναερίων, γῆ ἰχθύων. Οὕτως ἔστι καὶ γῆ σατανική, καὶ γῆ ἀγγέλων κ. ἑ. (Μακάρ. Αἰγ. ΛΔ', 573 κ. ἑ.).

*Γῆ*. Τί σημαίνει μεταφορικῶς τὸ ἀγαλλιᾶσθαι τὴν γῆν (Γρηγ. Νύσσ. ΜΔ', 529).

**Γηγενεῖς** καλεῖ ὁ προφήτης τοὺς τεθαρρηκότας καὶ ἐλπίζοντας ἰσχύϊ σώματος, καὶ οἰομένους αὐτάρκη εἶναι τὴν ἀνθρωπίνην φύσιν πρὸς τὸ δυνατῶς ἐπιτελεῖν ἃ βούλεται (Βασίλ. ΚΘ', 437). Γηγενεῖς οἱ τὰ γήϊνα φρονοῦντες. Υἱοὶ τῶν ἀνθρώπων οἱ ἐπιμέλειάν τινα καὶ ἄσκησιν τοῦ λόγου ποιούμενοι (Αὐτόθ. 435 κ. ἑ. Ψαλμ. μη').

**Γήϊνα,** πάντα φθαρτὰ καὶ οὐδέποτε ἵστανται (Χρυσόστ. ΝΘ', 136-138).

**Γήϊνον** σῶμα κατὰ τοὺς φιλοσόφους (Κλήμ. Ἀλεξ. Θ', 149 κ. ἑ.).

**Γῆλοι,** λαός τις. Παρὰ Γήλοις νόμος ἐστὶ τὰς γυναῖκας γεωργεῖν καὶ οἰκοδομεῖν κ. ἑ. Γήλισσαι γυναῖκες οὔτε μυρίζονται, οὐχ ἱμάτια βαπτὰ φοροῦσιν, ἀνυπόδητοί εἰσι πᾶσαι κ. ἑ. (Εὐσέβ. ΚΑ', 468-469).

**Γῆμαι** λέγεται ὁ ἀνήρ· γήμασθαι κυρίως ἡ γυνή (Λ. Εὐστ.).

**Γῆν** καλεῖ ἡ Γραφὴ τοὺς ἀπειθεῖς καὶ ἀνοήτους (Κλήμ. Ἀλεξ. Η', 1377).

**Γήπεδες.** Γοτθικὰ ἔθνη πολλὰ μὲν καὶ ἄλλα πρότερόν τε ἦν καὶ τὰ νῦν ἔστι· τὰ δὲ δὴ πάντων μέγιστα καὶ ἀξιολογώτατα Γότθοι τέ εἰσι, καὶ Βανδίλοι, Οὐϊσιγότθοι καὶ Γήπεδες κ. ἑ. (Ἰωάνν. Μαλάλ. ϞΖ', 440, ἔνθα καὶ σημειώσεις).

**Γῆρας** ἄγονον ἁμαρτημάτων, μέγα τι καὶ ὑπέρλαμπρον κ. ἑ. (Κλήμ. Ἀλεξ. Θ', 612).

*Γῆρας*. Ὁ ἐν κακοῖς γηράσας ποίῳ ἄρα τρόπῳ σωθῆναι δύναται; Ἀπόκρ. (Ἀθαν. ΚΗ', 653. - Ἀναστ. Σιν. ΠΘ', 361-369. βλ. *γέρων*).

*Γῆρας* καὶ πρεσβύτης. Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας κ. ἑ. (Τίτ. β', 2). Ἔστιν ἃ καὶ τὸ γῆρας ἐλαττώματα ἔχει, καὶ οὐχ ἡ νεότης· ἐλαττώματα μὲν τῆς νεότητος πολλά. Ἔστιν ἀπὸ γήρως ἐλαττώματα ἔχειν τὸ νωθρόν, τὸ ὀκνηρόν, τὸ ληθαργικόν, τὸ ἀμβλύ, τὸ ἀκρόχολον κ. ἑ. (Χρυσόστ. ΞΒ', 681). Ἀκουέτωσαν οἱ γεγηρακότες, ὅτι οὐ δεῖ τὰ τῶν νεωτέρων ποιεῖν κ. ἑ. (Αὐτόθ. 631 κ. ἑ.).

*Γῆρας*. Οὐδὲν ἰσχυρότερον γήρως, καὶ οὐδὲν φιλίας αἰδεσιμώτερον. Ὑπὸ τούτων ἤχθην ὑμῖν ἐγὼ δέσμιος ἐν Χριστῷ, δεθεὶς οὐχ ἁλύσεσι σιδηραῖς, ἀλλὰ τοῖς ἀλύτοις δεσμοῖς τοῦ Πνεύματος. Τέως δὲ ἤμην ἰσχυρὸς καὶ ἄηττος, καὶ ὢ τῆς ἀλογίας! οὐκ ἐδίδουν τοὺς λόγους οὐδὲ τοῖς ἐμοῖς ἐρασταῖς τούτοις καὶ ἀδελφοῖς, ἵν' ἔχω τὴν ἀπραγμοσύνην καὶ τὸ φιλοσοφεῖν ἐν ἡσυχίᾳ, πάντα παρεὶς τοῖς βουλομένοις, ἐμαυτῷ δὲ προσλαλεῖν καὶ τῷ Πνεύματι. Ἠλίου περιενόουν τὸν Κάρμηλον, καὶ Ἰωάννου τὴν ἔρημον, καὶ τῶν οὕτω φιλοσοφησάντων τὸ ὑπερκόσμιον· καὶ ζάλην τὰ παρόντα ἐνόμιζον, καὶ πέτραν τινὰ ἐζήτουν, ἢ κρημνόν, ἢ τειχίον, ὑφ' οἷς σκεπασθήσομαι. Ἄλλων, ἔλεγον, ἔστωσαν αἱ τιμαὶ καὶ οἱ πόνοι, ἄλλων οἱ πόλεμοι καὶ τὰ νικητήρια· ἐμοὶ δὲ ἀρκείτω φεύγοντι τοὺς πολέμους, εἰς ἐμαυτὸν βλέποντι ζῆν οὕτως, ὅπως ἂν

δύνωμαι, καθάπερ ἐπὶ λεπτῆς σχεδίας διαπεραιωμένῳ μικρόν τι πέλαγος, καὶ μικρὰν τὴν ἐκεῖθεν μονήν, τῷ πενιχρῷ τῆς ἐντεῦθεν πολιτείας κατακτωμένῳ. Ταπεινοτέρων ὁ λογισμὸς ἴσως, ἀλλ᾽ οὖν ἀσφαλεστέρων. Ἴσον ἀπέχειν καὶ ὕψους καὶ πτώματος.

Ταῦτα ἕως ἐξῆν γράφειν ἔτι σκιᾶς καὶ ὀνείρατα, καὶ τοῖς ματαίοις ἀναπλασμοῖς ἑστιᾶν τὴν διάνοιαν· νῦν δὲ τί; Φιλία ᾐχμαλώτευσέ με, καὶ πολιὰ πατρὸς ἐχειρώσατο· γῆρας φρονήσεως, προθεσμία βίου, λιμὴν ἀσφαλέστερος, καὶ φιλία πλουτοῦντος Θεῷ καὶ πλουτίζοντος κ. ἑ. (Γρηγ. Ναζ. ΛΕ', 828 κ. ἑ. Εἰς ἑαυτὸν λόγος, Εἰς τὸν πατέρα ἑαυτοῦ καὶ Εἰς τὸν Μέγαν Βασίλειον, ἡνίκα ἔμελλον χειροτονεῖν αὐτὸν ἐπίσκοπον).

*Γῆρας*. Φυσικόν ἐστι σχεδὸν τῷ γήρᾳ ὁ ὄκνος, οὐχὶ δὲ καὶ τῇ νεότητι (Βασίλ. ΛΑ', 1141).

*Γῆρας*. Περὶ γήρως καὶ νεότητος καὶ τιμῆς γονέων λόγος (Συμεὼν Μεταφρ. ΛΒ', 1377-1382).

Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταὶ
Σή τε βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ἱκάνει.

Λικίνιος ἐρόμενος τὸ ἐν Μιλήτῳ μαντεῖον τοῦ Διδυμαίου Ἀπόλλωνος ἤκουσε τούτους τοὺς Ὁμηρικοὺς στίχους (Σωζόμ. ΞΖ', 876)..

*Γῆρας*. Ὁ ἐν κακοῖς γηράσας. Ταπεινὲ Ζώσιμε, ἐσχάτη ὥρα ἐστίν. Τί ὡς ἀρχὰς ἔχων τοῦ ζῆν ῥᾳθυμεῖς; Ὁ θερισμός σου παρέστηκε· λευκή ἐστιν ἡ χώρα πρὸς τομήν. Αἱ τρίχες σε τὸ τέλος διδασκέτωσαν κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 276). Μεγάλα μέν σου τὰ τῆς νεότητος, ὥς φασι, πλημμελήματα. Πῶς γὰρ οὔ; Τὰ δὲ τοῦ γήρως ὑπερβολὴν οὐκ ἔχει κ. ἑ. (Ἰσίδ. ΟΗ', 517. Αὐτόθ. 608). Αἰδέσθητι κἂν τοὔνομα τοῦ γήρως, ὅπερ εἴρηται παρὰ τὸ γῆς ἐρᾶν (Αὐτόθ. 768).

Ἐν γήρᾳ καὶ νεότητι σωφροσύνη. Ὁ ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ χειμῶνος διασώζων τὴν ναῦν, καὶ μαινομένην χαλινῶν τὴν φύσιν, μυρίων ἀναρρήσεων καὶ μακαρισμῶν καὶ στεφάνων ἐστὶν ἄξιος. Ἡ γὰρ ἐν γήρᾳ σωφροσύνη οὐκ ἐγκρατείας ἐστίν, ἀλλ' ἀκολασίας ἀδυναμία κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 1384).

Ἡ ἐν τῷ γήρᾳ ἀρετὴ οὐκ ἂν κληθείη ἀρετή, ἀλλ' ἀδυναμία. Οὐκοῦν ἐν τῇ νεότητι μᾶλλον τὴν ἀρετὴν κατεργαστέον ἡμῖν, καὶ ἐν σώματι νέῳ πολιὸν ἐνδείκνυσθαι φρόνημα (Νεῖλ. ΟΘ', 141).

*Γῆρας*. Ἤδη γὰρ ὁ γεγηρακὼς τῷ πάθει νεανικῶς ἀνταγωνιζόμενος ἀντὶ τοῦ παιδὸς καλλίω φήμην ἐκτήσατο καὶ ζῇ μετὰ καλῆς ἐλπίδος, ἢ ἐποχούμενος ῥᾷον φέρει τὸ γῆρας, τὸ πάθος τῆς πρὸ τῆς ὥρας τοῦ παιδὸς τελευτῆς (Αἰν. Γαζ. ΠΕ', 935 σχόλ.).

*Γῆρας* εὐάρεστον ἐκ τῆς ἀναμνήσεως τῶν τῆς νεότητος πόνων (Θεοδώρ. ΠΓ', 1208).

*Γῆρας*. Περὶ γήρως καὶ νεότητος παράλληλα μετὰ Γραφικῶν χωρίων, τῶν Πατέρων καὶ τῶν ἔξωθεν (Μάξιμ. ϞΑ', 916-920).

*Γῆρας*. Εἴδετε τὸν γέροντα καὶ νέον, γέροντα μὲν τῷ σώματι, νέον δὲ τῷ φρονήματι; Εἴδετε πολιὰν ἀκμάζουσαν καὶ γήρως τόνον σφριγῶντα; Τοιαῦτα γὰρ τὰ παρ' ἡμῖν ἀπ' ἐναντίας τοῖς ἔξωθεν. Ἐπὶ μὲν γὰρ τῶν ἔξωθεν πραγμάτων τὸ γῆρας ἄχρηστον κ. ἑ. Ἐν δὲ τῇ Ἐκκλησίᾳ καὶ τοῖς τῆς ἀρετῆς πόνοις χρησιμώτατον (Χρυσόστ. ΞΓ', 516,532). Γέρων καὶ νέος ἱεροκῆρυξ (Αὐτόθ. 532-544. ΞΒ', 681).

*Γῆρας*. Πηδᾷ καὶ γῆρας ὡς τὰ πολλὰ προθυμίας πόνοις νευρούμενον, καὶ λόγος ἀσθενὴς ἐπιρρώννυται τῇ παραθήξει τῶν ἀκροατῶν δυναμούμενος (Ἀνδρ. Κρήτης ϞΖ', 1109).

**Γήρατος** ἀδυναμία εἰς συγγραφάς. Ὡς οἱ γεγηρακότες τῶν ἵππων, οἷς προθυμία μόνη πρὸς τοὺς ἀγῶνάς ἐστιν, ἡ δὲ τοῦ τρέχειν δύναμις τῷ χρόνῳ προανηλώθη κ. ἑ. (Γρηγ. Νύσσ. ΜϚ', 161).

**Γῆς** υἱοὶ γεγονέναι μυθεύονται οἱ μεγαλοσώματοι καὶ οἱ περὶ γεωργίαν ἐσπουδακότες. Ἔνθα ἱστορικὴ κατάστασις περὶ τοῦ τῶν ἡμιθέων μύθου (Παρεκβ. Εὐστ. εἰς Ἰλ, τόμ. Α', σελ. 16—17. Εἰς Ὀδ., τόμ. Α', σελ. 434).

**Γηὼν** μὲν ὁ Νεῖλος ὠνόμασται (Ἱερ. Ϭ', 18.—Θεοδώρ. Π', 668).

*Γίγαντα* καὶ ἰσχύοντα καὶ ἄνθρωπον πολεμιστὴν (Ἡσ. γ', 2). Γίγαντες σπανίως ἐπὶ καλῆς λαμβάνονται σημασίας. Ἔνθα τίνας ἡγούμεθα γίγαντας (Βασίλ. Λ', 281).

*Γίγαντας* τίνας καλεῖ ἡ θεία Γραφή; Τινές φασι τοὺς ἔτη πολλὰ βεβιωκότας· τινὲς

δὲ τοὺς θεομισεῖς καὶ ἀντιθέους ἀνθρώπους. Οἱ ταῦτα οὕτω νενοηκότες, οὔ φασι τούτους μείζονα τῶν ἄλλων ἀνθρώπων σώματα ἐσχηκέναι. Ἐγὼ δὲ ὅταν ἀκούσω τῆς θείας Γραφῆς λεγούσης περὶ τοῦ Ἐνάκ, ὅτι ἀπόγονος ἦν τῶν γιγάντων, περὶ τοῦ Ὢγ καὶ Γολιάθ, ἡγοῦμαι γεγενῆσθαί τινας ἀνθρώπους παμμεγέθεις κ. ἑ. (Θεοδώρ. Π΄, 152 καὶ αὐτόθ. 656).

*Γίγαντας* γὰρ οἶδεν ἡ Γραφὴ καλεῖν τοὺς καθ' ὑπερβολὴν ἀσεβεῖς καὶ ὑπερηφάνους καὶ τῇ οἰκείᾳ ῥώμῃ τὸ πᾶν ἐπιτρέποντας. Οὕτω φησὶν ὁ Ψαλμῳδός. «Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ» (Ψαλμ. λϛ΄,16) (Γεννάδ. Π. Κ/πόλεως ΠΕ΄, 1644). Γίγαντας δὲ καλεῖν ἔθος τῇ Γραφῇ τοὺς εὐρωστοτάτους μετὰ κακίας. Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου· χαίροντες ἅμα καὶ ὑβρίζοντες κ. ἑ. (Προκόπ. Γαζ. ΠΖ΄, 268).

*Γίγαντες*, ἄνθρωποι ἐκ νόθου μίξεως, πολλῷ γε μείζους τῶν λοιπῶν ἀνθρώπων (Κλήμ. Ῥώμ. Β΄, 233). γιγάντων γένεσις καὶ τὰ κατ' αὐτούς (Ἀθηναγ. Ϛ΄, 948).

*Γίγαντες*, τιτᾶνες, δρακοντόποδες· καὶ ὅτι ἐκ τοῦ αἵματος τῶν γιγάντων τὰ θανατηφόρα ζῷα γεγόνασι, κατὰ τὴν Ἡσιόδου Θεογονίαν (Νόνν. ἀββᾶς ΛϚ΄, 1025). Ἐσπάρησαν καὶ ἀνεφύησαν αὐθημερὸν γίγαντες (Κοσμ. Ἱεροσ. ΛΗ΄, 488). Γιγάντων ἔργα ἐν ὄρεσιν (Αὐτόθ. 548—549).

*Γίγαντες* υἱοὶ τῶν ἀγγέλων. Ἀγγελικῶν τε πόθων κρατεροὺς ἀνέηκε γίγαντας (Γρηγ. Ναζ. ΛΖ΄, 617).

*Γίγαντες*. Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ' ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί (Γέν. ϛ΄, 4). Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γείνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς, ἰδόντες δὲ οἱ ἄγγελοι τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο (Γέν. ϛ΄, 1, 2.-Χρυσόστ. ΝΓ΄, 191).

*Γιγαντία*, ἡ Λυκαονία, ἡ Λυκία (ΠΕ΄, 1051 σχόλ.).

**Γιγάντιος** κύριον· φίλος Γρηγορίου. Ἐπιστολὴ πρὸς αὐτόν (Γρηγ. Ναζ. ΛΖ΄, 173). Ἐπίγραμμα πρὸς αὐτόν (ΛΗ΄, 81). Εἰς τὸν αὐτὸν Γιγάντιον Οἰκοδόμον, καὶ περὶ μεγάλων καὶ θαυμαστῶν ἔργων (Κοσμ. Ἱεροσ. Αὐτόθ. 533).

*Γιγαντιῶντες* Θεὸν ποιεῖτε. Γίγαντας ἐπώνυμον ἐν μακάρεσσιν, οὕνεκα γῆς ἐγένοντο καὶ αἵματος οὐρανίοιο. Σημείωσ. (Ζαχαρ. Μιτυλήν. ΠΕ΄, 1051-1052).

*Γιγγλισμός*, τρόπος τις φιλήματος οὕτω καλούμενος. Καὶ χύτρα εἶδός τι φιλήματος. Καὶ γιγρών, ἀφροδισιακός τις δαίμων, ὃς δοκεῖ διάκονος γενέσθαι τῷ Ἄρει τῆς μοιχείας (Παρεκβ. Εὐστ. εἰ Ὀδ., τόμ. Β΄, σελ. 223).

**Γιγρὶ** ἐπιφώνημα καταγελαστικόν (Λ. Εὐστ.).

**Γιεζεὶ** καὶ Νεεμὰν καὶ Ἐλισσαῖος (Θεοδώρ. Π΄, 753—761).

**Γίνεσθαι** λέγονται οἱ ἄνεμοι καὶ οἱ ὑετοὶ καὶ τὰ τοιαῦτα, ἃ οὐκ εἰσιν ὡς τὰ στοιχεῖα καὶ τὰ οὐράνια σώματα, ἀλλ' ἐν τῷ γίνεσθαι ἔχουσι τὸ εἶναι (Λ. Εὐστ.).

**Γίννος** τὸ ἐξ ἵππου πατρὸς καὶ ὄνου μητρὸς γέννημα (Λ. Εὐστ.).

**Γίνομαι** τοῦ καιροῦ. Συμμορφοῦμαι κατὰ τὰς περιστάσεις. Παλινῳδῶ, γνωσιμαχῶ. Πάντες τοῦ καιροῦ γεγόνασι, τοσοῦτον ἀλλήλων διενεγκόντες κ. ἑ. (Γρηγ. Ναζ. ΛΕ΄, 1109).

**Γινώσκειν.** Διάφοροι τῆς λέξεως ταύτης ἔννοιαι (Ὠριγ. ΙΔ΄, 524-532). Εἰ τὸν Πατέρα ἔγνωσαν Μωϋσῆς καὶ οἱ Προφῆται (Αὐτόθ. 532 κ. ἑ.).

*Γινώσκειν*· γνόντες καὶ συνιέντες. Ὅτι χεῖρον μὲν τὸ κρῖμα τῶν συνιέντων καὶ μὴ ποιούντων· οὔτε δὲ τὸ κατὰ ἄγνοιαν ἁμαρτάνειν ἀκίνδυνον (Βασίλ. ΛΑ΄, 717).

*Γινώσκειν*. Οὐκ ἐγίνωσκε γὰρ αὐτήν, φησίν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον. Τοῦτο δὲ ἤδη ὑπόνοιαν παρέχει, ὅτι μετὰ τὸ καθαρῶς ὑπηρετήσασθαι τῇ γεννήσει τοῦ Κυρίου τῇ ἐπιτελεσθείσῃ διὰ τοῦ Πνεύματος τοῦ ἁγίου, τὰ νενομισμένα τοῦ γάμου ἔργα μὴ ἀπαρνησαμένης τῆς Μαρίας. Ἡμεῖς δέ, εἰ καὶ μηδὲν τῷ τῆς εὐσεβείας παραλυμαίνεται λόγῳ (μέχρι γὰρ τῆς κατὰ τὴν οἰκονομίαν ὑπηρεσίας ἀναγκαία ἡ παρ-

θενία, τὸ δ' ἐφεξῆς ἀπολυπραγμόνητον τῷ λόγῳ τοῦ μυστηρίου), ὅμως διὰ τὸ μὴ καταδέχεσθαι τῶν φιλοχρίστων τὴν ἀκοήν, ὅτι ποτὲ ἐπαύσατο εἶναι παρθένος ἡ Θεοτόκος, ἐκείνας ἡγούμεθα τὰς μαρτυρίας αὐτάρκεις (Βασίλ. ΛΑ', 1468).

Τὰ δὲ «οὐκ ἐγίνωσκεν αὐτήν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς», τὸ ἕως, πολλαχοῦ, χρόνου μέν τινα δοκεῖ περιορισμὸν ὑποφαίνειν, κατὰ δὲ τὴν ἀλήθειαν τὸ ἀόριστον δείκνυσι κ. ἑ. Ἔνθα περὶ τῆς μετὰ τόκον παρθενίας τῆς Θεοτόκου Μαρίας καὶ Ζαχαρίου(Αὐτόθ. 1468-1469). Ἰσίδ. Πηλουσιώτης περὶ τῆς αὐτῆς ὑποθέσεως (ΟΗ', 192-193). Νεῖλος (ΟΘ', 180-181). Χρυσόστομος (ΝΖ', 58).

*Γινώσκειν*. Εἰς τὸ «Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν» (Β' Κορινθ. ε', 16). Εἰ καὶ ἐσεμνυνόμεθα πρῴην οἱ ἐξ Ἰουδαίων πιστεύσαντες τῇ κατὰ σάρκα αὐτοῦ συγγενείᾳ, νῦν οὐ ταύτῃ ἐναβρυνόμεθα, ἀλλὰ τῇ κατ' οἰκειότητα αὐτοῦ ἀγχιστείᾳ, ἣν διὰ τῆς ἀρετῆς καρπούμεθα κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 1097).

*Γινώσκειν*. Πόθεν γινώσκει ὁ ἄνθρωπος, εἰ ἐνῴκησεν ἐν αὐτῷ ὁ Χριστός; Ἀπόκρ. Τὸ ἐρώτημα τοῦτο ὅμοιόν ἐστι τοῦ ἐρωτῶντος τὴν ἔγκυον γυναῖκα, πόθεν οἶδας εἰ συνέλαβες ἐν γαστρί; Ὥσπερ οὖν ἐκείνη οὐ δεῖται παρ' ἑτέρου γνῶναι τοῦτο, οὕτω καὶ ἡ ψυχὴ οὐ δεῖται παρ' ἑτέρου μαθεῖν κ. ἑ. (Ἀναϛ. Σιν. ΠΘ', 704, 760).

**Γλαῦκα** *εἰς Ἀθήνας*· παροιμία διαφόρως ἑρμηνευομένην. Πτηνὸν φίλον Ἀθηνᾷ. Λαμβάνεται δὲ ἢ ἐπὶ τῶν συμβαλλόντων ἔνθα μὴ χρεία συμβολῆς, ἡ ἐπὶ τῶν θαμιζόντων ἔνθα πολὺ τοιοῦτον πλῆθος. Οἱ δὲ παλαιοί φασι καὶ ὅτι τὸ «Γλαῦκα Ἀθήναζε» ἁρμόττει ἐπὶ τῶν ἄλλοθεν μάτην τὰ πλεονάζοντα ὡς σπάνιά τινα ἐμπορευομένων, ὡς «Πύξον εἰς Κύτωρον ἤγαγες» ἢ «Ἰχθὺν εἰς Ἑλλήσποντον» (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Α', 74). Κύτωρος ἢ Κύτωρον, πόλις Παφλαγονίας, Σινωπέων ἐμπόριον, περὶ ἣν πλείστη καὶ ἀρίστη πύξος φύεται (Αὐτόθ. σελ. 293).

**Γλαύκη** κύριον, γλαυκὴ ἐπίθετον.

**Γλαυκὴ** θάλασσα, ἡ ὑπόλευκος διὰ τὴν ὑποκειμένην ἄμμον (Λ. Εὐστ.).

**Γλαυκίας**, ὁ Πέτρου ἑρμηνεὺς κατὰ Βασιλείδην (Κλήμ. Ἀλεξ. Θ', 548-549).

**Γλαῦκος**, κύριον, γλαυκὸς ἐπίθετον. Γλαῦκος καὶ Διομήδης. Ἱστορία (Κοσμ. Ἱεροσ. ΛΗ', 388). Γλαῦκος φίλος Γρηγορίου, ὃν συνιστᾷ εἰς Ἀμφιλόχιον δι' ἐπιστολῆς (ΛΖ', 61).

**Γλαύξ**, τὸ ὄρνεον· τῇ Ἀθηνᾷ ἀφιέρωτο, καὶ ὅτι νυκτὸς μὲν βλέπει, μεθ' ἡμέραν δὲ οὔ· γλαὺξ ὅτι οὐ τίκτει τυφλὰ διὰ τὸ περὶ τοὺς ὀφθαλμοὺς πυρῶδες καὶ τὸ γλαυκὸν αὐτῶν ὑποφαίνειν (Λ. Εὐστ.).

**Γλαφυρὰ** πέτρα, ἡ κοίλη καὶ σπηλαιώδης. Γλαφυρὰ Κυρίλλου Ἀλεξανδρείας, ἤτοι ὑπομνήματα εἰς τὴν Πεντάτευχον (ΞΘ', 13-677).

**Γλαφύραι** πόλις καὶ κώμη τῆς Κιλικίας.

**Γλεύκινον** ἔλαιον, εἶδος φαρμάκου (Χρυσόστ. ΝΒ', 629).

**Γλήκων**, τὸ κοινῶς *βλισκούνιον* (Γλωσσάρ. ΠϚ', 1161).

**Γλήνη**, ἡ τοῦ ὀφθαλμοῦ κόρη ἐκ τοῦ γαλήνη συγκέκοπται.

**Γλία**, ἡ κόλλα.

**Γλυκάδιος** μὲν τὸ ὄνομα κέκλησαι, ὀξυνὸς δὲ καὶ ἀηδὴς τὸν τρόπον καθέστηκας (Νεῖλ. ΟΘ', 176).

**Γλυκᾶς** Μιχαὴλ (ΡΝΗ', 9-957).

**Γλυκερίας** τῆς μάρτυρος θαύματα (Θεοφύλ. Σιμοκ. ἔκδ. Βόνν., σελ. 54-55).

**Γλυκέριος** Μοναχὸς ἐκ τοῦ ἀριθμοῦ τῶν ἀσκητῶν ἦν (Βασίλ. ΛΒ', 644). Ἐπιστολὴ πρὸς αὐτὸν παραινετικὴ καὶ ἐπιπληκτικὴ (Αὐτόθ. 645).

**Γλυκὺς** Ἰωάννης, Πατριάρχης Κωνσταντινουπόλεως (ΡΝΒ', 1085-1158).

**Γλυκὺς** *ἀγκὼν* παροιμία. Ὑποδηλοῖ δὲ μοχθηρίαν τόπου (Λ. Εὐστ.).

**Γλυκύσματα** καὶ φύλλα δάφνης. Ἔθος ἦν Ῥωμαίοις τὴν πρώτην τοῦ ἔτους δίδειν ἀλλήλοις, ὡς δῆθεν ἀπὸ γλυκείας τροφῆς ἀπάρχεσθαι (Ἰωάνν. Λυδ. ἔκδ. Βόνν., σελ. 53-54).

**Γλῶσσα** ἀντὶ τοῦ διάλεκτος, ἐκ τοῦ ὀργάνου τὸ ἀποτέλεσμα. Πᾶσα δὲ ἀπεξενωμένη διάλεκτος γλῶσσα λέγεται· ἡ γλῶσσα τὸ ὄργανον, οἱονεὶ κλῶσσα διὰ τὸ εὔκλαστον (Λ. Εὐστ.).

*Γλῶσσα*. Γλῶσσαι ἱερείων (θυμάτων) θεοῖς θυόμεναι· καὶ ὅτι ἄριστον καὶ κάκιστον ἡ γλῶσσα· καὶ ὅτι πρὸς ἑσπέραν ἐ-

θύοντο, καὶ εἰς τί ἐθύοντο αἱ γλῶσσαι. Ἔθος παλαιὸν δηλοῖ ὁ Ποιητὴς τέμνειν γλώσσας καὶ ῥαίνειν οἶνον· μέλλοντες γὰρ κοιμηθῆναι μετὰ θυσίαν οἱ παλαιοί, ἔθυον τὰς τῶν ἱερείων γλώσσας κατὰ ἔθος Ἰώνων ἢ Ἀττικῶν, βάλλοντες ἐν πυρί. Ἀπένεμον δὲ αὐτὰς θεοῖς, ἢ τῶν δυσφημιῶν καθαίροντες ἑαυτούς, ἢ καὶ ὅτι κράτιστον τῶν μελῶν ἡ γλῶσσα, ἢ καὶ ὅτι τὰ ῥηθέντα θεοῖς ἀνετίθεσαν ὡς ἐπιμαρτύρων αὐτῶν λαληθέντα. Ἀμέλει καὶ κατὰ τὸ οὖς τῶν ἐκπωμάτων ἔσπενδον, τὴν θείαν οἰωνιζόμενοι ἀκοήν. Ἢ καὶ διότι χρὴ τὰ ἐν συμποσίῳ σιγᾶν. Ὅθεν καὶ παροιμία «μισῶ μνάμονα συμπόταν», ὅ ἐστι τὸν τὰ ἄξια σιγῆς ἐν μνήμῃ ἔχοντα καὶ ἐκκαλύπτοντα· ἄλλως γὰρ ἐπαινετέος ὁ τῶν ἀξίων σπουδῆς μεμνημένος συμπότης. Καὶ ἀντὶ τῆς χθιζῆς ἐωλοκρασίας, σπουδαίους λόγους ἐξερευγόμενος, οὓς χθὲς τὸ συμπόσιον εἶχε τῷ κρατῆρι συμμεμιγμένους. Καὶ ἑτέρως δὲ γλῶσσαι θύονται, ἵνα φυλάττοιτο τῇ γλώσσῃ ἐκεῖθεν μόνον τὸ κατ' αὐτὴν καλλιστεῖον, καὶ μὴ ἔχοι κατ' αὐτῆς, ὡς ἐπαμφοτεριζούσης, αὐχεῖν ὁ ἐπικρίνας αὐτὴν δύναμιν εἶναι, διὰ τὸ ἐν πολλοῖς τῶν ἀνθρώπων ἀμφοτερόγλωσσον· γλῶσσα τὸ κάλλιστον καὶ κάκιστον ἱερεῖον. Δίστομον γὰρ οἷόν τε ξίφος ἡ γλῶσσα, δύναμιν ἔχουσα καὶ βλάπτειν καὶ ὠφελεῖν. Καὶ ἄλλως δὲ τὰς γλώσσας ὡσίουν θεοῖς πρὸς ἑσπέραν, ὡς ἤδη σιγήσοντες, καὶ τὴν γλῶσσαν ἀπόθετον φυλάξαντες. Καὶ Ἑρμῇ ἀνετίθουν ὡς λόγου δοτῆρι. Ἴσως δὲ καὶ διότι πάσης, καθά τις ἔφη, λογοδιαρροίας ἀπηλλάγησαν, τραπεζορρήτορες ὄντες (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Α', σελ. 130-131).

*Γλῶσσα*. «Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν» (Ψαλμ. λγ', 15) «καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον» (Αὐτόθ.). Ἡ προχειροτάτη καὶ πολύτροπος ἁμαρτία διὰ τῆς γλώσσης ἐστὶν ἐνεργουμένη. Ὠργίσθης; καὶ ἡ γλῶσσα προτρέχει. Ἐν ἐπιθυμίαις εἶ; καὶ τὴν γλῶσσαν ἔχεις πρὸ πάντων οἱονεί τινα μαστρωπὸν καὶ προαγωγόν, συγκαταπρασσομένην τῇ ἁμαρτίᾳ, καθυποκρινομένην τοὺς πλησίον. Καὶ ὅπλον σοι πρὸς τὴν ἀδικίαν ἡ γλῶσσα, μὴ τὰ ἀπὸ καρδίας φθεγγομένη, ἀλλὰ τὰ πρὸς ἀπάτην προφέρουσα. Καὶ τί δεῖ πάντα τῷ λόγῳ ἐπεξιέναι τῶν διὰ γλώσσης ἁμαρτημάτων; Πεπλήρωται ἡμῶν ὁ βίος τῶν ἀπὸ γλώσσης πταισμάτων. Αἰσχρολογία, εὐτραπελία, μωρολογία, τὰ οὐκ ἀνήκοντα, καταλαλιαί, λόγος ἀργός, ἐπιορκίαι, ψευδομαρτυρίαι, πάντα ταῦτα τὰ κακὰ καὶ ἔτι πλείω τούτων τῆς γλώσσης ἐστὶ δημιουργήματα κ. ἑ. (Ὁμιλία Βασιλείου εἰς τὸ «Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ τὰ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον» ΚΘ', 373 κ. ἑ.).

Τὸ συμφέρον λαλεῖ παντοίας γλώσσας· μυρία δὲ ὑποκρίνεται πρόσωπα· καὶ αὐτὸ τὸ τοῦ ἀφιλοκερδοῦς. Ἀπόφθεγμα.

*Γλῶσσα* λοίδορος, κοίτη γίνεται τοῦ διαβόλου (Νεῖλ. ΟΘ', 532).

*Γλῶσσα* ποία ἀρχαιοτέρα; Τὰ ὀνόματα δηλοῖ Ἀδάμ, Κάϊν καὶ Ἄβελ καὶ Νῶε, τῆς Σύρων ἴδια γλώττης. Ἡ οὖν ἑβραία πόθεν ἤρξατο; Οἶμαι αὐτὴν ἱερὰν εἶναι φωνὴν κ. ἑ. Πραγματεία (Θεοδώρ. Π', 165-168).

«Ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας» (Ἰακωβ. γ', 6). Ὑμεῖς γὰρ ἔφατε ὑπὸ τῆς Εἱμαρμένης τὴν γλῶτταν κινεῖσθαι καὶ συνταράττεσθαι· τὸ δὲ ἱερὸν λόγιον τοὐναντίον φάσκει ὑπὸ τῆς γλώσσης συγχεῖσθαι τὸν τὸν χρόνον τῆς ζωῆς ἡμῶν κ. ἑ. Μυρίοις τοίνυν χαλινοῖς τὴν γλῶσσαν ἄγχετε (Ἰσίδ. Πηλ. ΟΗ', 613). Ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας. Ἡ γλῶσσα πῦρ· ἐπειδὴ εὔστροφος οὖσα καὶ ῥᾴστη εὐχερῶς πολλὰ λαλοῦσα κακά. Καὶ γὰρ κατηγορεῖ, κακηγορεῖ, καὶ ἐπιορκεῖ, καὶ ψεύδεται, καὶ ψευδομαρτυρεῖ, καὶ πολλοὺς ἀδίκως εἰς πῦρ ἐμβάλλει, καὶ εἰς ξίφος, καὶ εἰς πέλαγος ὠθεῖ. Ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας· ὡς ἂν εἰ ἔλεγεν, ὅτι ὁ τῆς εὐγλωττίας πυρσός, ὅταν τοὺς μεγάλα πταίοντας κοσμῇ, ἐγκαλλώπισμα δοκεῖ τῆς ἀληθείας. Χρὴ τοίνυν τῇ δεινότητι κεχρῆσθαι οὐ πρὸς τὸ τὴν κακίαν κοσμεῖν, ἀλλὰ πρὸς τὸ τὴν ἀρετὴν σεμνύνειν, τὴν καὶ χωρὶς λόγων ὑπερλάμπουσαν (Αὐτόθ. 1057).

*Γλῶσσα* ἀκρατής. Ὥσπερ σπάνιοι καὶ παντελῶς ὀλίγοι εἰσὶν οἱ δυνάμενοι ὑδάτων ὁρμὰς κωλῦσαι μὴ πρότερον φράξαντες· πῶς γάρ; οὕτως ὀλιγώτεροί εἰσιν οἱ στόμα ἀκρατὲς δυνάμενοι δαμάσαι. Διὰ φραγμοῦ γὰρ ὕδωρ κωλύεται, καὶ δι' ἐγκρατείας ἡ γλῶσ-

σα δεσμεῖται. Ἐὰν φυλάξῃς τὴν γλῶσσαν, ἀδελφέ, δίδοταί σοι παρὰ Θεοῦ ἡ χάρις τῆς κατανύξεως. Ἐὰν δὲ ἡ γλῶσσά σου νικήσῃ σε, οὐδέποτε δυνήσῃ ἐξελθεῖν ἐκ τῆς σκοτοδίνης. Ἐὰν δὲ οὐκ ἔχῃς καρδίαν καθαράν, ἔχε κἂν στόμα καθαρόν (Σχόλ. ΠΗ', 853). Τὸ φροντίσαι τῆς γλώσσης δῆλον ποιεῖ τὸν ἄνθρωπον ὅτι πρακτικός ἐστιν· ἡ δὲ ἀπαιδευσία τῆς γλώσσης σημαίνει, ὅτι οὐκ ἔχει ἔνδοθεν αὐτοῦ ἀρετήν (Αὐτόθ. 965). Λέγειν χρὴ καλὰ καὶ τὸν μὴ καλὰ πράττοντα, ὅπως ἄρξηται τῶν ἔργων τοὺς λόγους αἰσχυνόμενος (Αὐτόθ. 1037).

*Γλῶσσα* καὶ κόρη ὀφθαλμοῦ διὰ τί ἀμέτοχα ἀπὸ χυμῶν καὶ χρωμάτων; Ἵνα διακρίνωσι τοὺς ἐξωτερικοὺς χυμοὺς καὶ τὰ χρώματα (Θέατρ. Πολιτ. σελ. 22).

*Γλῶσσα*. Περὶ τῶν τὴν ἑαυτῶν γλῶσσαν φυλαττόντων. Ἱερὰ Παράλλ. (Ἰωάνν. Δαμ. ϞΕ', 1340-1341). Περὶ τῶν τὴν γλῶσσαν μὴ φυλαττόντων (Αὐτόθ. ϞΕ', 1341-1348).

Ἡ γλῶσσα μὲν πῦρ καὶ ἀκατάσχετόν ἐστι κακόν, καθὰ γέγραπται. Τὸ μὲν γὰρ εὐστομεῖν δύνασθαι καὶ ἀκριβῆ τὴν ἐπιτήρησιν ἐπὶ γλώττης ἔχειν ὧν ἂν δεήσῃ λέγειν ἢ μὴ θεόδοτον ἀληθῶς εἴη ἄν· καὶ τὸ χρῆμά ἐστιν οὐκ ἐν μικρῷ λόγῳ, παρά γε τοῖς οὐκ ἀθαύμαστον ἐπιτηδεύουσι πολιτείαν. Τό γε μὴν προαλὲς εἰς λόγους καὶ τὸ ἀχάλινον εἰς τερθρείας κινδύνου μεστόν, καὶ εἰς πέταυρον Ἅδου καταχομίζει τοὺς κεχρημένους κ. ἑ. (Κύριλλ. Ἀλεξ. ΟϚ', 57 κ. ἑ.).

Ἡ γλῶσσα τὸ πονηρὸν πολλάκις φθέγγεται ὑπὸ κακῆς συνηθείας ὁρμωμένη (Χρυσόστ. ΜΗ', 1001). Γένη γλωσσῶν τί ἐστιν; Τὸ παλαιὸν ὁ βαπτισθεὶς καὶ πιστεύσας εὐθέως πρὸς τὴν φανέρωσιν του Πνεύματος διαφόροις ἐλάλει γλώσσαις. Ἐπειδὴ γὰρ ἔτι ἀσθενέστερον διέκειντο οἱ τότε κ. ἑ. Καὶ τοῦτο τὸ σημεῖον ἐκαλεῖτο γένη γλωσσῶν. Καὶ ὁ μίαν ἔχων γλῶσσαν ἀπὸ τῆς φύσεως ποικίλαις ἐλάλει γλώσσαις καὶ διαφόροις ἀπὸ τῆς χάριτος (Χρυσόστ. ΝΑ', 92). Μεγάλη παγὶς γλώσσης ἀκολασία, καὶ πολλοῦ δεομένη χαλινοῦ «Παγὶς ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται ῥήμασιν ἰδίου στόματος» (Παροιμ. ϛ', 2) (Χρυσόστ. ΜΘ', 159).

Ἑτερογλώσσοις ὁμιλεῖν ἢ διδάσκειν εἰς γλῶσσαν μὴ ἐννοουμένην ὑπ' αὐτῶν τε ἢ καὶ ἄλλων ἀκροατῶν μάταιον καὶ ἀνωφελές, ἄνευ τινὸς καρποῦ (Χρυσόστ. ΞΑ', 299-300). Γλῶσσαι χρήσιμοι εἰς σημεῖον, οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις εἰς ἔκπληξιν κ. ἑ. (Αὐτόθ. 307). Τόξα καὶ βέλη τὰ ἀπὸ γλώσσης καὶ στόματος πικρότερα τῶν βελῶν (Χρυσόστ. περὶ κακολογίας Ξ', 465 κ. ἑ.). Παιδεύωμεν οὖν τὴν γλῶτταν εὔφημον εἶναι. Παῦσον γάρ, φησί, τὴν γλῶσσάν σου ἀπὸ κακοῦ. Οὐ γὰρ διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεός, ἵνα κατηγορῶμεν, ἵνα ὑβρίζωμεν, ἵνα ἀλλήλους διαβάλλωμεν· ἀλλ' ἵνα τὸν Θεὸν ὑμνῶμεν, ἵνα ταῦτα λαλῶμεν, ἃ δίδωσι χάριν τοῖς ἀκούουσι κ. ἑ. (Χρυσόσ. ΞΓ', 17 κ.ἑ.).

*Γλῶσσα* ἀγνοουμένη τοῖς ἀκούουσι τὰς προσευχάς, ὁ νοῦς αὐτῶν ἄκαρπος μένει. Εἰς τὸ «Πῶς τὸ πνεῦμά τινος προσεύχεται, ὁ δὲ νοῦς αὐτοῦ ἄκαρπός ἐστιν»; (Α' Κορινθ. ιδ', 14). Ἀπόκρ. Τοῦτο περὶ τῶν ἐν γλώσσῃ ἀγνοουμένῃ τοῖς ἀκούουσι τὰς προσευχὰς ἀναπεμπομένων ἐρρέθη. Φησὶ γάρ· Ἐὰν προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστιν. Ὅταν μὲν γὰρ ἄγνωστα ᾖ τοῖς παροῦσι τὰ ῥήματα τῆς προσευχῆς, ἄκαρπός ἐστιν ὁ νοῦς τοῦ προσευχομένου, μηδενὸς ὠφελουμένου. Ὅταν δὲ οἱ παρόντες νοῶσι τὴν προσευχὴν ὠφελεῖν δυναμένην τοὺς ἀκούοντας, τότε ὁ προσευχόμενος καρπὸν ἔχει τὴν τῶν ὠφελουμένων βελτίωσιν. Ὁμοίως δὲ καὶ ἐπὶ πάσης ἐκφωνήσεως τῶν τοῦ Θεοῦ ῥημάτων. Γέγραπται γάρ· «Ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς πίστεως, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν» (Ἐφεσ. δ', 29) (Βασίλ. ΛΑ', 1277).

*Γλῶσσα* ἑτοίμη πρὸς τὸ κακῶς λέγειν. Πλὴν ὑγιαίνοις καὶ σῶμα καὶ ψυχήν, καὶ τὴν γλῶσσαν κατέχοις, εἰ δυνατόν (Γρηγ. Ναζ. ΛΖ', 313-316).

*Γλῶσσα* καὶ γλωσσαλγία. Παράλληλα μετὰ Γραφικῶν χωρίων, τῶν Πατέρων καὶ τῶν θύραθεν (Μάξιμ. ϞΑ', 937-941).

*Γλῶσσαι* συνεχύθησαν ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς. Πραγματεία ἑρμηνευτικὴ (Φώτ. ΡΑ', 549-552).

Ὁ τῶν γλωσσῶν μερισμὸς τοῖς ἀπογόνοις τοῦ νόμου ἐκ τῆς Σιβύλλης σεσήμασται (Θεόφ. Ἀντιοχ. Ϛ', 1101).

*Γλῶσσαι·* πόθεν τὴν ἀρχὴν αὐτῶν, κατὰ Διόδωρον τὸν Σικελιώτην, ἔλαβον (Εὐσέβ. ΚΑ', 53-56).

*Γλῶσσαι* πονηραὶ τὸ ἑαυτῶν ποιοῦσαι, λέγουσαι κακῶς, ἐπειδὴ καλῶς οὐκ ἔμαθον. Ὅπερ εἰμί, τοῦτο μένω, καὶ δυσφημούμενος, καὶ θαυμαζόμενος. «Βροτὸς δ' ἄλλως νήχεται λόγοις, φησὶν Ἰώβ (ια', 12) καὶ ὅσα πέτραν περιρρέων ἀφρός, ἢ πίτυν αὖραι, ἤ τινα τῶν δασέων καὶ ὑψηλῶν· τοσαῦτα αἱ γλῶσσαί με περιρρέουσι, καὶ ἅμα φιλοσοφῶ τι τοιοῦτο πρὸς ἐμαυτόν· ὡς εἰ μὲν ψευδὴς ὁ κατηγορῶν, οὐκ ἐμοῦ μᾶλλον ὁ λόγος ἢ ἐκείνου τὸ λεγόμενον ἅπτεται κ. ἑ. (Γρηγ. Ναζ. ΛΕ', 1140-1141). Γλώσσαις πονηραῖς μηδεμίαν διδόναι πάροδον ἢ λαβὴν κ. ἑ. (Αὐτόθ. 1156).

*Γλῶσσαι.* Ἐλάλουν μὲν οὖν (οἱ Ἀπόστολοι) ξέναις γλώσσαις, καὶ οὐ πατρίοις, καὶ τὸ θαῦμα μέγα, λόγος ὑπὸ τῶν οὐ μαθόντων λαλούμενος κτλ. Ἀπορία περὶ τούτου καὶ λύσις (Γρηγ. Ναζ. ΛϚ', 449—452). Γλωσσῶν διαίρεσις, ἡνίκα τὸν πύργον ᾠκοδόμουν.

*Γλῶσσαι* ἡμερούμεναι διὰ πεπειραμένης καὶ σοφῆς ποιμαντορίας. Ὁρᾶτε τὰς ἐναντίας γλώσσας ἡμερουμένας, καὶ τοὺς θεότητι πολεμοῦντας ἡμῖν ἡσυχάζοντας; Καὶ τοῦτο τοῦ Πνεύματος, καὶ τοῦτο τῆς γεωργίας τῆς ἡμετέρας. Οὐ γὰρ ἀπαιδεύτως παιδεύομεν, οὐδὲ ταῖς ὕβρεσι βάλλομεν, ὅπερ πάσχουσιν οἱ πολλοί, μὴ τῷ λόγῳ μαχόμενοι, τοῖς δὲ λέγουσι καὶ τὴν ἀσθένειαν ἔστιν ὅτε τῶν λογισμῶν ταῖς ὕβρεσι συγκαλύπτοντες· ὥσπερ τὰς σηπίας λόγος ἐμεῖν τὸ μέλαν πρὸ ἑαυτῶν, ἵνα τοὺς θηρεύοντας διαφύγωσι κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 472-473).

Οὐ γὰρ κακῶς τὸ καλὸν θηρεύομεν· καὶ εἰρηνεύομεν ἐννόμως μαχόμενοι καὶ εἴσω τῶν ἡμετέρων ὅρων καὶ κανόνων τοῦ Πνεύματος. Περὶ μὲν οὖν τούτων οὕτω γινώσκω καὶ νόμον τίθημι πᾶσι τοῖς ψυχῶν οἰκονόμοις καὶ τοῦ λόγου ταμίαις· μήτε τῷ σκληρῷ τραχύνειν, μήτε τῷ ὑπεσταλμένῳ κατεπαίρειν· ἀλλ' εὐλόγους εἶναι περὶ τὸν λόγον, μηδετέρῳ τὸ μέτρον ὑπερβαίνοντας. Τινὲς δὲ τὸ μὲν ἀσεβὲς φεύγουσι, τὸ δὲ εὐσεβὲς οὐ παρρησιάζονται, εἴτε οἰκονομίᾳ τινὶ χρώμενοι περὶ τὸν λόγον, εἴτε δειλίᾳ πρὸς τοῦτο καταφεύγουσιν· ἀλλὰ τὴν μὲν διάνοιαν ὑγιαίνουσιν, ὥς φασι, τὸν λαὸν δὲ οὐχ ὑγιάζουσιν, ὥσπερ ἑαυτῶν οὐκ ἄλλων προστασίαν ἐγχειρισθέντες· ἄλλοι δὲ καὶ δημοσιεύουσι τὸν θησαυρόν, οὐ στέγοντες τὴν ὠδῖνα τῆς εὐσεβείας, οὐδὲ τὸ μόνον σώζεσθαι σωτηρίαν νομίζοντες, εἰ μὴ καὶ ἄλλοις τὸ καλὸν ὑπερβλύσειεν. Μεθ' ὧν ἐγὼ ταττοίμην κ. ἑ. (Αὐτόθ. ΛϚ', 473).

*Γλῶσσαι* δέκα καὶ στόματα δέκα καὶ ψυχαὶ ἰσάριθμοι οὐκ ἐπαρκοῦσιν εἰς ἔπαινον προσόντων πλεονεκτημάτων, ἄνευ τῆς αἰσχρᾶς κολακείας (Ἰσίδ. Πηλ. ΟΗ', 668).

**Γλωσσαλγία** ἱερέων, ἐπισκόπων καὶ κληρικῶν, νεοχειροτονήτων θεολόγων καὶ αὐθημερινῶν σοφῶν (Αὐτόθ. 1065-1076 κ. ἑ.). Σπαράσσεται δὲ ἡ γλῶσσα καὶ ὠδίνει τὴν ἀντίρρησιν; Ὀψόμεθα καὶ ταύτην ποτέ, ἢ οἷς μᾶλλον ἡμῶν σχολὴ περίεστι· γνωσόμεθα καὶ τὰ κομψὰ ὑμῶν γεννήματα ἢ ἐξαμβλώματα κ. ἑ. (Αὐτόθ. 1165 κ. ἑ.).

**Γλῶσσαν** γεγυμνασμένην εἰς ψεῦδος τί οὐκ εἴποιεν οἱ ἔχοντες; (Βασίλ. ΚΘ', 205). Γλῶσσα θνητὴ καὶ πήλιον ὄργανον, τί μὲν ἂν εἴποι, τί δὲ καὶ φθέγξοιτο; (Ἀθαν. ΚΗ', 1073).

**Γλωσσάρια.** Θεοδωρήτου (ΠΔ', 865-1174). Ἀναστασίου Σιναΐτου (ΠΘ', 65-69, 81-85). Μαξίμου τοῦ Ὁμολογητοῦ (ϞΑ', 1519-1530). Εἰς Χρονικὸν Πασχάλιον μιξοβάρβαρον (ϞΒ', 1775-1780). Ἰωάννου Μαλάλα (ϞΖ', 1611-1628). Ζωσίμου ἱστορικοῦ (ἔκδ. Βόνν., σελ. 424-430). Ἰωάννου Λυδοῦ (ἔκδ. Βόνν., σελ. 403-407). Προκοπίου Ἱστορικοῦ (ἔκδ. Βόνν., τόμ. Γ', σελ. 582-586). Θεοφυλάκτου Σιμοκάττου (ἔκδ. Βόνν., σελ. 347-348). Διονυσίου Ἀρεοπαγίτου (Γ', 1133). Εἰρηναίου (Ζ', 1877). Κλήμεντος Ἀλεξανδρέως (Θ', 1495). Ἀθανασίου τοῦ Μεγάλου (ΚΗ', 1609-1617). Νόννου Πανοπολίτου (ΜΓ', 1199). Ἀγαθίου Ἱστορικοῦ (ΠΗ', 1595). Παχωμίου μοναχοῦ (ϞΗ', 1345). Νικηφόρου Πατριάρχου (Ρ', 1533). Ἀνδρέου Καισαρείας (ΡϚ', 1387). Λέοντος Γραμματικοῦ καὶ Θεοφάνους (ΡΗ', 1427). Εἰς Βυζαντινοὺς μετὰ Θεοφάνην (ΡΘ', 1155). Εἰς Γεώργιον μοναχόν (ΡΙ', 1287). Σουΐδα (ΡΙΖ', 1193-1409). Εἰς Κεδρηνόν (ΡΚΒ', 1361). Εἰς τὰ Τέσσαρα Εὐαγγέλια λεξικολόγιον (ΡΚϚ',

1249). Εἰς Ἄνναν Κομνηνήν (ΡΛΑ', 1289-1299 καὶ 1211-1244). Εἰς Νικήταν Χωνιάτην (ΡΛΘ', 1085). Εἰς Γεώργιον Παχυμέρην (ΡΜΔ', 715-833). Εἰς Νικηφόρον Γρηγορᾶν (ΡΜΘ', 1051). Εἰς Χαλκοκονδύλην (ΡΝΘ', 1393).

**Γλώσσης** φυλακὴ καὶ προσοχή. Τίνα χρὴ παραφυλάττεσθαι τοὺς ἀστείως συμβιοῦντας. Ὑποθῆκαι ἀνδράσι τε καὶ γυναιξίν (Κλήμ. Ἀλεξ. Η', 456-465). Ἔνθα περὶ αἰσχρολογίας ἐν ἀναστροφαῖς καὶ συμποσίοις (Αὐτόθ. 452-456).

*Γλώσσης* θησαυρὸς γλῶσσαν παρὰ πᾶσαν ἄριστος, ἑλλαδικῆς, πασῶν χαρίτων πᾶν μέτρον ἐχούσης (Παρὰ Μακαρ. Αἰγυπτ. ΛΔ', 303-304).

*Γλώσσης* νοσούσης χαλινός. Εἰ δὲ ἀπληστότερος εἶ καὶ κατέχειν τὴν νόσον ἀδυνατεῖς, ταῦτα μελέτα, ἐν τούτοις ἴσθι· κινούσθω σου τὸ φιλότιμον ἐν τοῖς ἀκινδύνοις. Οὐ δέχῃ τοῦτο, οὐδὲ ἡ γλῶσσά σου χαλινὸν ἔχει, οὐδὲ κρείττων εἶ τῆς φορᾶς κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 205-206 κ. ἑ.—212). Ἔνθα λόγος περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας, καὶ ὅτι οὐ παντὸς ἀνθρώπου, οὔτε παντὸς καιροῦ τὸ περὶ Θεοῦ διαλέγεσθαι (ΛϚ', 173-212). Γλῶσσα πονηρὰ τὰ Χριστιανῶν στηλιτεύουσα (Αὐτόθ. 217).

Γλώσσης δὲ φείδου· καὶ γὰρ εὐκολωτέρα
βλάπτειν, τὸ κέρδος δὲ ἧσσον εὖ κινουμένης
(Γρηγ. Ναζ. ΛΖ', 932).

Ὑγρὰ ἡ γλῶσσα καὶ εὔστροφος καὶ πρὸς ὅ,τι περ ἐθέλοι ῥημάτων εἶδος ἀπόνως ἑαυτὴν σχηματίζουσα· ἀκώλυτος ἡ ὁλκὴ τοῦ ἀερίου πνεύματος, ᾧ συγκεχρημένη τοὺς φθόγγους ἐργάζεται· ἄκοπος ταῖς παρειαῖς ἡ ὑπουργία καὶ τοῖς χείλεσιν ἡ πρὸς τὴν ἐκφώνησιν τοῦ λεγομένου συνέργεια (Γρηγ. Νύσσ. ΜΔ', 629). Πῶς ἐγεννήθησαν αἱ διάφοροι γλῶσσαι καὶ ὅτι ὁ Θεὸς οὐκ ἐδίδαξε τοὺς ἀνθρώπους, ἀλλ' ἀφῆκε τὴν φύσιν ὁδῷ πορεύεσθαι, κατὰ τὸ ἀρέσκον διαρθροῦσαν παρ' ἑκάστοις τὸν ἦχον πρὸς τὴν τῶν ὀνομάτων σαφήνειαν κ. ἑ. (Αὐτόθ. ΜΕ', 996). Τίνι τρόπῳ τὸν λόγον ἀπεργάζεται (Αὐτόθ. 997).

*Γλώσσης* χαλινός. Οἱ πρὸς εὐλάβειαν παιδαγωγούμενοι τὸν ἐξ ἀγαθῆς φρονήσεως χαλινὸν ἐπιφέρουσι τῇ γλώττῃ, ἐκεῖνα μόνον λαλεῖν ἐπιτρέποντες, ὅσα τὸ βλάβος οὐδὲν ποιεῖ, κατὰ τὸν σοφόν· «Τέκνον, εἰ μὲν ἔστι σοι λόγος συνέσεως, ἀποκρίθητι τῷ πλησίον· εἰ δὲ μή, ἡ χείρ σου ἔστω ἐπὶ στόματί σου. Δόξα καὶ ἀτιμία ἐν λαλιᾷ, καὶ γλῶσσα ἀνθρώπου πτῶσις αὐτῷ» (Σιρὰχ ε', 12). «Θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης. Οἱ δὲ κρατοῦντες αὐτῆς ἔδονται τοὺς καρποὺς αὐτῆς» (Παροιμ. ιη', 21), τουτέστιν ἐν ἐξουσίᾳ. Ἐπεὶ δὲ τὸ γλώσσης κρατῆσαι οὐ σφόδρα ἐστὶν εὐχερές, ἄνωθεν καὶ τοῦτο ἡμᾶς αἰτεῖν ὁ Ψαλμῳδὸς διδάσκει λέγων· «Θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου» (Ψαλμ. ρμ', 3). Μὴ κατηγορῶμεν τοιγαροῦν ἀλλήλων, μηδὲ κατακρίνωμεν τοὺς ἀδελφούς. Ὁ γὰρ συνέσει κυβερνώμενος ἐκβάλλει πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ αὐτοῦ, καὶ εἶτα τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ αὐτοῦ (Ματθ. ζ', 3) (Κύριλλ. Ἀλεξ. ΟΒ', 384-385).

*Γλώσσης* ἐγκράτεια καὶ κενοδοξία. Οὐ καλῶς τὰς Ἀθήνας θαυμάζεις, καὶ Στοὰν καὶ Περίπατον καὶ Ἀττικὴν φαντασίαν, οἷς διὰ μάθησιν φλυαρίας πάλαι προσεκαρτέρεις, ὁ τὰ γήϊνα περιφρονήσας καὶ μηδὲν ἀγαπᾶν τῶν ἐνταῦθα κεκελευσμένος. Εἰ συνηγέρθης οὖν τῷ Χριστῷ, τὰ ἄνω φρόνει, οὗ ἐστιν αὐτός. Οἱ γὰρ τὴν εὐτελῆ ἐσθῆτά σου ὁρῶντες καὶ φιλοσοφίαν ἐν μόνῳ σχήματί σοι προσοῦσαν, περπερείαν (καὶ περπερίαν) δὲ γνώμης καὶ γλώσσης ἀλαζονείαν κατὰ τῆς θειοτάτης θρησκείας βλασφημοῦσιν (Ἰσίδ. Πηλ. ΟΗ', 324). Χαλίνωσον τῆς γλώσσης τὸ ταχύ. Τὸ μεῖζον γὰρ ἁπάντων τῶν γηΐνων μελῶν γλῶσσα ὡς δυσκάθεκτός ἐστιν (Αὐτόθ. 369—372).

*Γλώσσης* ὀλίσθημα. «Μακάριος, ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησεν, οὐδὲ κατενύγη ἐν λύπῃ ἁμαρτίας» (Σιρὰχ ιδ', 1). Οἷον, μακάριος, ὃς οὔτε αἰσχρότητι ῥημάτων τὴν γλῶσσαν ἐμόλυνεν, οὔτε σκανδάλου τισὶ δι' ὕβρεως αἴτιος. Τὸ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας, ἤτοι μεταγνοὺς ἐφ' οἷς ἀσέμνως καὶ αἰσχρῶς ἀπεφθέγξατο, ἢ τὸ μή τινα λυπῆσαι δεινοῖς ἔπεσι καὶ δεηθῆναι ἐπ' αὐτοῖς κατανύξεως. Ὀλίσθημα γὰρ ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης. Πολλοὶ μὲν γὰρ πε-

σόντες, φησίν, ἀνέστησαν, εἰπόντες δέ, προσαπόλοιντο (Ἰσίδ. Πηλ. ΟΗ', 433-436).

*Γλώσσης* ἀδολεσχία. Οὐδὲν οὕτως ἡ φύσις εὐερκῶς κεχαράκωκε τῶν ἐν ἡμῖν, ὡς τὴν γλῶτταν, βαλομένη φρουρὰν πρὸ αὐτῆς τοὺς ὀδόντας, ἵν', ἐὰν ἐντὸς κατατείνοντος ἡνία σιγαλόεντα τοῦ λογισμοῦ, μὴ ὑπακούῃ, μηδὲ ἀνείλληται, δήγμασιν αὐτῆς κατέχωμεν τὴν ἀκρασίαν αἱμάττοντες (Πλουτ. Περὶ ἀδολεσχ., ἔκδ. ἑλληνολατ. Διδότου, σελ. 609).

*Γλώσσης* φυσιολογία. Διὰ τί ἐποιήθη. Χαλινὸς αὐτῆς καὶ ἐνέργειαι. Σὰρξ αὐτῆς καὶ ποιότητες. Διὰ τί γλῶσσα λέγεται κ. ἑ. (Μελέτ. μοναχ. ΞΔ', 1189-1192).

*Γλώσσης* ἰδιωτισμοὶ τόπων τινῶν ἐν νήσοις καὶ στερεᾷ (Παχώμ. μοναχ. ϞΗ', 1348-1360).

**Γλωσσώδης** καὶ φλύαρος ἀνὴρ ἢ γυνή. Φοβερὸς γὰρ ἐν ἀπωλείᾳ αὐτοῦ ἀνὴρ ἢ γυνὴ γλωσσώδης, καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται (Σιρὰχ θ', 18). Τῶν γοῦν φλυάρων, καθάπερ τῶν παλαιῶν ὑποδημάτων, τὰ μὲν ἄλλα ὑπὸ τῆς κακίας κατατέτριπται, μόνη δὲ ἡ γλῶσσα παραλείπεται εἰς βλάβην (Κλήμ. Ἀλεξ. Η', 464-465). Γλώσσας, τὰς τῶν αὐλῶν καὶ ὑποδημάτων γλωσσίδας (Ἡσύχ.).

**Γλῶτταν** καὶ στόμα πῶς δυνατὸν τῇ τοῦ Χριστοῦ ἐοικότα ἔχειν; Ποία ἡ τὸν Χριστὸν μιμουμένη; Ἂν ἐκεῖνα φθεγγώμεθα, ἅπερ ἐκεῖνος βούλεται. Τί δέ ἐστιν ἃ ἐκεῖνος ἡμᾶς βούλεται φθέγγεσθαι; Τὰ ἐπιεικείας γέμοντα ῥήματα καὶ πραότητος, ὥσπερ οὖν καὶ αὐτὸς ἐφθέγγετο κ. ἑ. (Χρυσόστ. ΝΗ', 715 κ. ἑ.).

Τὴν γλῶτταν καθαρὰν κακηγορίας διαφυλάξαι. Τὸ σαυτοῦ στόμα μιαίνειν οὐκ ὀφείλεις, τὰς μιαρὰς ἐκείνου πράξεις ἐκτραγῳδῶν καὶ τὴν τῶν τρόπων σκαιότητα διηγούμενος (Ἰσίδ. Πηλ. ΟΗ', 1356, 1392-1393). Πῶς καὶ εἰς τί χρηστέον τῇ γλώσσῃ. Εἰ ὀξυτάτην ἔχεις τὴν γλῶτταν, μάλιστα μὲν αὐτὴν ἐπιστόμιζε, καὶ χαλινῷ ἀναπείραζε· εἰ δὲ ἀδυνατεῖς, χρῆσαι αὐτῇ εἰς δέον. Ἕπεται ἡ παραίνεσις, εἰς τί καὶ πῶς (Αὐτόθ. 1393).

Εὔφημον μὲν ἔχειν χρὴ καὶ σεμνὴν τὴν γλῶτταν· καὶ πῶς δεῖ καθάψασθαι τοῦ ἀκούοντος (Ἰσίδ. Πηλ. ΟΗ', 1589). Μὴ οὖν ὀλιγώρει, εἰ οὐρανοπολίτης ὢν τὰς τῶν φθονούντων σοι γλώττας αἰχμῆς νενηκόνου ὀξυτέρας αἰσθάνῃ κατὰ σαυτοῦ φερομένας, ἀλλὰ διὰ τοῦτο μάλιστα λαμπρότερος ἔσεσθαι προσδόκησον (Αὐτόθ. 1605).

**Γναθαίης** ἑταίρας ἀποφθέγματα κατὰ στρατιώτου καὶ κατὰ φαύλου παλαιστοῦ (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Δ', σελ. 350).

**Γνόφος.** Διὰ τί ἐν γνόφῳ ὁ Θεὸς τὸν νόμον δέδωκεν; Ἐπειδὴ σκοτεινῶς καὶ συγκεκαλυμμένως ἐν αὐτῷ ἐνεκέκρυπτο τῆς οἰκονομίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν τὸ μυστήριον (Ἀθαν. ΚΗ', 633).

*Γνόφος.* «Εἰσῆλθε Μωϋσῆς εἰς τὸν γνόφον» (Ἔξοδ. κ', 21). Τοῦ περὶ Θεὸν γνόφου, οὐδὲν ἕτερον ἐμφαίνοντος ἢ τὸ ἀπερινόητον καὶ ἀνεξιχνίαστον τοῦ Θεοῦ· σκοτοειδὴς γὰρ καὶ ἀφεγγὴς ἡ τοῦ γνόφου πέφυκεν ὄψις, τὰ ἐν αὐτῇ κρύπτουσα, διὰ τοῦ πυκνοτάτου καὶ σκοτοειδοῦς ἀέρος εἴργουσα τὰς ὄψεις τῶν ὁρώντων εἰς αὐτόν. «Σκότος γὰρ ἀποκρυφὴ αὐτοῦ, καὶ οὐχ ὁραθήσεται» (Ἰὼβ κβ', 14) (Νεῖλ. ΟΘ', 161).

*Γνόφος* καὶ σκότος, τὸ ἀόρατον τῆς θείας οὐσίας. Παράλληλα χωρία (Θεοδώρ. Π', 693). Γνόφος ὁ θεῖος, τὸ ἀπρόσιτόν ἐστι φῶς τῆς θεότητος, ἐν ᾧ κατοικεῖν ὁ Θεὸς λέγεται· καὶ ἀοράτῳ γε ὄντι διὰ τὴν ὑπερέχουσαν φαεινότητα (Γεώργ. Πισίδ. ϞΒ', 1433). Ὁ Μωϋσῆς ὁ ἐν αὐτῷ μυηθεὶς τὰ ἀπόρρητα. Ἐκεῖ δὲ γεγονώς, ὃς προεπαιδεύθη διὰ τοῦ γνόφου, πάλιν διὰ τοῦ γνόφου διδάσκεται. Ἀπαγορεύει γὰρ ἐν πρώτοις ὁ θεῖος λόγος πρὸς μηδὲν τῶν γινωσκομένων ὁμοιοῦσθαι παρὰ τῶν ἀνθρώπων τὸ θεῖον κ. ἑ. (Γρηγ. Νύσσ. ΜΔ', 377).

**Γνῶθι σαυτόν.** Ἕπου Θεῷ. Πρόσεχε σαυτῷ. Ταυτόν ἐστι τὸ ἕπεσθαι καὶ τὸ πείθεσθαι λόγῳ (Πλούτ.). Τὸ «Γνῶθι σαυτὸν» πόθεν μυστικώτερον εἴληπται κ. ἑ. (Κλήμ. Ἀλεξ. Η', 1008-1009).

*Γνῶθι σαυτόν.* Τὸ γὰρ ἑαυτὸν γνῶναι καθάρσιον τῶν ἐκ τῆς ἀγνοίας πεπλημμελημένων γίνεται. Ἀλλ' οὐκ ἔστι ῥᾴδιον ἑαυτὸν κατιδεῖν βουλόμενον, μή τινος ἐπινοίας δυνατὸν ποιούσης ἡμῖν τὸ ἀδύνατον. Ὅπερ γὰρ ἐπὶ τῶν σωματικῶν ὀφθαλμῶν ἡ φύσις ἐποίησεν, οἱ ἅπαντα τὰ ἄλλα βλέποντες, ἑαυτῶν ἀθέ-

ατοι μένουσι· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχή, πάντα τὰ ἄλλα διερευνωμένη, καὶ τὰ ἔξω ἑαυτῆς πολυπραγμονοῦσα καὶ ἀνιχνεύουσα, ἑαυτὴν ἰδεῖν ἀδυνάτως ἔχει κ. ἑ. Θεολογία καὶ φιλοσοφία (Γρηγ. Νύσσ. ΜϚʹ, 509 κ. ἑ.).

*Γνῶθι σαυτόν.* Ἔνθα περὶ εὐγενείας ἐκ προγόνων, ἀπὸ τρόπων χρηστῶν, καὶ ἀπὸ προγόνων ἀσήμων. Τίς ἡ ἀληθὴς εὐγένεια, καὶ πότε τις ἑαυτὸν γινώσκει (Ἰσίδ. Πηλ. ΟΗʹ, 721).

*Γνῶθι σαυτόν.* Πόθεν τίκτεται τὸ μὴ γινώσκειν ἑαυτούς; Ἐξ ἀλαζονείας καὶ ἀπονοίας πολλῆς κ. ἑ. (Χρυσόστ. Ξʹ, 237-238). Ὁ ἄρα γινώσκων ἑαυτὸν τόπος ἐστὶ τοῦ Θεοῦ καὶ θρόνος (Κλήμ. Παρὰ Λεοντ. ΠϚʹ, 2077).

Πάντων χαλεπώτατον ἑαυτὸν γινώσκειν καὶ θεραπεύειν, διὰ τὸ προσπεφυκέναι ἀνθρώποις τὸ φίλαυτον καὶ κλέπτειν τὴν τοῦ ἀληθοῦς κρίσιν (Μάρκ. μοναχ. παρὰ Λεοντ. ΠϚʹ, 2072).

*Γνῶθι σαυτόν.* Παράλληλα χωρία ἔκ τε τῆς Γραφῆς, τῶν Πατέρων καὶ τῶν θύραθεν σοφῶν (Μάξιμ. ϞΑʹ, 968-972).

*Γνῶθι σαυτόν.* Περὶ τοῦ «Γνῶθι σεαυτόν», ἤτοι «Πρόσεχε σεαυτῷ»· καὶ ὅτι χρὴ ἕκαστον τὰ οἰκεῖα περισκοπεῖν καὶ μὴ τὰ ἀλλότρια περιεργάζεσθαι (Ἰωάνν. Δαμασκ. Ἱερὰ Παράλλ. ϞΕʹ, 1297-1305).

**Γνῶμα,** ὁ καὶ γνώμων, ὅ ἐστι σημεῖον ἐκ τῶν ὀδόντων λαμβανόμενον, ὅθεν ἡ τῶν ἵππων ἡλικία διαγινώσκεται (Λ. Εὐστ.).

**Γνῶμαι** φιλοσόφων βραχεῖαι.

Φασὶ δὲ Ἕλληνες, μετά γε Ὀρφέα καὶ Λῖνον καὶ τοὺς παλαιοτάτους παρὰ σφίσι ποιητάς, ἐπὶ σοφίᾳ πρώτους θαυμασθῆναι, κατὰ Πλάτωνα, Διογένην Λαέρτιον καὶ Πλούταρχον ἐν Συμποσίῳ, τοὺς ἑπτά, τοὺς ἐπικληθέντας σοφούς· ὧν τέσσαρες μὲν ἀπὸ Ἀσίας ἦσαν, Θαλῆς τε ὁ Μιλήσιος, καὶ Βίας ὁ Πριηνεύς, καὶ Πιττακὸς ὁ Μιτυληναῖος, καὶ Κλεόβουλος ὁ Λίνδιος· δύο δὲ ἀπὸ Εὐρώπης, Σόλων τε ὁ Ἀθηναῖος, καὶ Χίλων ὁ Λακεδαιμόνιος· τὸν δὲ ἕβδομον, οἱ μὲν Περίανδρον εἶναι λέγουσι τὸν Κορίνθιον, οἱ δὲ Ἀνάχαρσιν τὸν Σκύθην, οἱ δὲ Ἐπιμενίδην τὸν Κρῆτα, ὃν ἑλληνικὸν οἶδε προφήτην, οὗ ἐν παρόδῳ μέμνηται ὁ Ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Τίτον Ἐπιστολῇ· οἱ δὲ Ἀκουσίλαον τὸν Ἀργεῖον ἐγκατέλεξαν τοῖς ἑπτὰ σοφοῖς· ἄλλοι δὲ Φερεκύδην τὸν Σύριον.

Πλάτων δὲ ἐν Πρωταγόρᾳ ἀντὶ Περιάνδρου, ὡς ἀνάξιον σοφίας διὰ τὸ τετυραννηκέναι, ἀντικατατάττει Μύσωνα τὸν Χηνέα. Βραχυλογίαν γοῦν ἠσπάζοντο τὴν παραινετικήν, τὴν ὠφελιμωτάτην. Αὐτίκα Πλάτων πάλαι τὸ διὰ σπουδῆς γεγονέναι τόνδε τὸν τρόπον λέγει, κοινῶς μὲν πᾶσιν Ἕλλησιν, ἐξαιρέτως δὲ Λακεδαιμονίοις καὶ Κρησὶ τοῖς εὐνομωτάτοις. Καί φασι τοὺς μὲν Γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀποφθεγγομένους φιλοσοφῆσαι, σέβειν θεούς, καὶ μηδὲν κακὸν δρᾶν, καὶ ἀνδρείαν ἀσκεῖν. Τὴν πόλιν ἡμῶν (τὰς Ἀθήνας) ἅπαντες Ἕλληνες ὑπολαμβάνουσιν ὡς φιλόλογός τέ ἐστι καὶ πολυλόγος. Λακεδαίμονα δὲ καὶ Κρήτην, τὴν μὲν βραχυλόγον, τὴν δὲ πολύνοιαν μᾶλλον ἢ πολυλογίαν ἀσκοῦσαν.

Διχογνωμίαι φιλολόγων καὶ ἱστορικῶν περὶ τῶν ἀποφθεγμάτων Γνῶθι σαυτόν. Μηδὲν ἄγαν. Μέτρον ἄριστον. Ἐγγύα, πάρα δ' ἄτα. Γνῶθι καιρόν. Ἔνθα διχογνωμίαι καὶ περὶ τῆς Πατρίδος τινῶν ἐκ τῶν ἑπτὰ σοφῶν. Καὶ ὅτι ὁ Πυθαγόρας πρῶτος φιλόσοφον ἑαυτὸν ἀνηγόρευσε· καὶ τίνες αἱ πρῶται σχολαὶ καὶ οἱ τούτων διάδοχοι (Κλήμ. Ἀλεξ. Ηʹ, 757-796).

**Γνῶμαις** διεφθαρμένων οὐ χρὴ ἕπεσθαι, ἀλλὰ τῇ τῶν πραγμάτων ἀληθείᾳ· παρ' αὐτοῖς παραλογιζομένοις ἀναισχυντία καὶ φλυαρία χώραν ἔχουσιν (Ἰσίδ. Πηλ. ΟΗʹ, 1501).

**Γνώμη,** παραίνεσίς ἐστι σύντομος καθολική. Αἰώνια γάρ πως τὰ ἀληθῆ γνωμολογήματα (Παρεκβ. Εὐστ. Εἰς Ὀδ., τόμ. Αʹ, σελ. 424).

*Γνώμη.* Ὅτι μὴ δεῖ ταῖς τῶν πολλῶν προσέχειν δόξαις, μηδὲ τῆς ἰδίας προαιρέσεως μετατίθεσθαι διὰ θανάτου φόβον. Ἀπὸ τοῦ Κρίτωνος (Εὐσέβ. ΚΑʹ, 1080-1084).

*Γνώμη.* Ἀπὸ τῆς γνώμης τὰ πράγματα κρίνεται. Ἠθικὴ καὶ νομικὴ ῥήτρα περὶ αἰτίων καὶ ἀναιτίων· πραγματεία (Ἰσίδ. Πηλ. ΟΗʹ, 717-720). Δῆλον, ὅτι οὐκ ἐν τῇ πράξει, ἀλλ' ἐν τῇ προαιρέσει τῶν ἀνθρώπων τὸ κατορθοῦν ἐστι καὶ ἁμαρτάνειν (Αὐτόθ. σημ. 718-719).

*Γνώμη* εὐγνώμων. Ἔχε, ὦ σοφέ, τὴν γνώμην εὐγνώμονα καὶ τὴν ψυχὴν ἐρρωμένην· καὶ πάντα τὰ παρεμπίπτοντα, εἰς τὴν σὴν εὐδοκίμησιν καὶ τὴν τῶν ἐχθρῶν αἰσχύνην περιτραπήσεται. Εἰ δὲ ὀλιγωρήσειας, διαφθερεῖς μὲν τὸ σαυτοῦ κλέος, πανήγυριν δὲ τοῖς ἐναντίοις καὶ λύπην τοῖς ἐπιτηδείοις προξενήσεις (Ἰσίδ. Πηλ. ΟΗ', 865).

*Γνώμη.* Ἐγὼ τῆς γνώμης πρὸ τῆς γλώσσης ἀξιῶ πεπαιδεῦσθαι τοὺς ἐμοὶ πλησιάζοντας· εἰ δὲ καὶ ἄμφω ἔχοιεν καὶ λυπεῖ τινας, τἀληθὲς μετὰ παρρησίας λελέξεται. Ὥσπερ ἀγάλματα περιέπω καὶ πᾶσιν ἐπιδείκνυμι μέγα φρονῶν ἐπὶ τῷ τοιούτους ἔχειν φίλους (Ἰσίδ. Πηλ. ΟΗ', 1636).

*Γνώμη* φιλόσοφος τίς; Τὸ ὑπομένειν γενναίως κ. ἑ. (Χρυσόστ. ΞΑ', 487 κ. ἑ.).

*Γνώμη.* Περὶ γνώμης. Ἀλλ' οὔτε γνώμη τις ἡ προαίρεσις, κἂν οἱ πολλοὶ τοῦτο προχείρως νομίζωσιν, ἀλλὰ γνώμης· εἴπερ τὴν γνώμην εἶναί φασιν ὄρεξιν ἐνδιάθετον τῶν ἐφ' ἡμῖν, ἐξ ἧς ἡ προαίρεσις, ἢ διάθεσιν ἐπὶ τοῖς ἐφ' ἡμῖν ὀρεκτικῶς βουλευθεῖσιν. Διατεθεῖσα γὰρ ἡ ὄρεξις τοῖς κριθεῖσιν ἐκ τῆς βουλῆς, γνώμη γέγονεν, ἐξ ἧς ἡ προαίρεσις. Ἕξεως οὖν πρὸς ἐνέργειαν ἐπέχει λόγον, ἡ γνώμη πρὸς τὴν προαίρεσιν (Μάξιμ. ϞΑ', 17).

*Γνώμη φιλόθεος.* Τῶν τῆς ἀρετῆς κατορθωμάτων τὰ πλεῖστα μὲν οἱ θεῖοι νόμοι διαγορεύουσιν, ἔνια δὲ καὶ ἡ γνώμη προστίθησιν. Ἃ γὰρ οὐχ ὑπόκειται νόμων ἀνάγκῃ, ἀλλὰ φιλοθέου γνώμης ὑπάρχει καρπός, εἰκότως ἑκούσια προσηγόρευται (Θεοδώρ. Π', 1856). Ἡ θεία κηδεμονία ἀκολουθεῖ ταῖς γνώμαις. Ἔνθα παραδείγματα Γραφικά (ΠΒ', 1277). Ὁ Κύριος τὴν αὐτὴν ἔχων φύσιν ἡμῖν, τὴν αὐτὴν οὐκ ἔσχεν ἡμῖν γνώμην (Αὐτόθ. ΠΓ', 128).

**Γνώμην** ἡμετέραν οὐ δεῖ ἐπιβάλλειν, ὅταν ἄλλος τις κρεῖττόν τι λέγῃ καὶ συμφέρον· κἂν τῶν σφόδρα εὐτελεστάτων ᾖ, μὴ ἀτιμάσῃς κ. ἑ. (Χρυσόστ. ΞΑ', 528).

**Γνωμικὰ** τῶν ἑπτὰ σοφῶν τῆς Ἑλλάδος (Κλήμ. Ἀλεξ. Η', 760).

*Γνωμικὰ* δίστιχα. Γρηγορίου Ναζιανζηνοῦ (ΛΖ', 910-927). Ἑρμηνεία αὐτῶν ὑπὸ Νικήτα Δαβὶδ (ΛΗ', 777-841).

*Γνωμικὰ* τετράστιχα τοῦ αὐτοῦ (ΛΖ', 927-945).

**Γνωμολόγιον** παραινετικὸν Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος (Ϛ', 1184-1204).

*Γνωμολόγιον* Νείλου ἐν κεφαλαίοις ρνγ', (ΟΘ', 1165-1200). Γνωμολόγιον ἕτερον τοῦ αὐτοῦ (Αὐτόθ. 1236-1240). Ἕτερον, ἀπάγον τῶν φθαρτῶν καὶ κολλῶν τοῖς ἀφθάρτοις τὸν ἄνθρωπον (Αὐτόθ. 1240-1249). Ἕτερον (Αὐτόθ. 1249-1264).

Εὐαγρίου Μοναχοῦ Γνωμολόγιον φυσιολογικὸν ἐπὶ τὸ πνευματικώτερον. Ἐν κεφαλαίοις λγ' (Μ', 1264-1268). Ἕτερον τοῦ αὐτοῦ (Αὐτόθ. 1268-1269).

Μάρκου Ἐρημίτου περὶ πνευματικοῦ νόμου (ΞΕ', 905). Περὶ τῶν οἰομένων ἐξ ἔργων δικαιοῦσθαι (Αὐτόθ. 929-965).

Λεοντίου Βυζαντίου Ἐκλογαὶ Ἱερῶν Παραλλήλων ἐκ χωρίων Γραφικῶν καὶ τῶν Πατέρων (ΠϚ', 2017-2100).

Δωροθέου Ἀρχιμανδρίτου Διδασκαλίαι ψυχωφελεῖς (ΠΗ', 1612-1845).

Μαξίμου τοῦ Ὁμολογητοῦ Παράλληλα. Ἐκ χωρίων τῆς θείας Γραφῆς, τῶν Πατέρων καὶ τῶν θύραθεν (ϞΑ, 721 κ. ἑ.).

Ἰωάννου τοῦ Δαμασκηνοῦ Ἱερὰ Παράλληλα κατὰ πλάτος ἀλφαβητικῶς ἐκ χωρίων τῆς Γραφῆς καὶ τῶν Πατέρων (ϞΕ', 1069-1585). Τοῦ αὐτοῦ (ϞϚ', 9-544).

Ἀποφθέγματα ἁγίων Θεοφόρων Πατέρων Ἀνωνύμου (ΡϚ', 1384-1388).

Ἀλφαβητάρια Συμεὼν τοῦ Μεταφραστοῦ (ΡΙΔ', 132-136).

Ἰωάννου μονάζοντος Γεωργίδου Γνῶμαι κατὰ στοιχεῖον ἄξιαι λόγου καὶ μελέτης (ΡΙΖ', 1057-1164).

Ἠλία Πρεσβυτέρου Ἀνθολόγιον Γνωμικὸν φιλοσόφων σπουδαίων (ΡΚΖ', 1129-1176).

Ἀντωνίου Μοναχοῦ τοῦ ἐπικληθέντος ἡ Μέλισσα, Ἀπάνθισμα ἐκ τῶν προηγουμένων γνωμολόγων κατὰ στοιχεῖον (ΡΛϚ', 765—1244).

Γεωργίου Λαπίθου τοῦ Κυπρίου Γνωμολόγιον εἰς στίχους πρὸς κοινὴν ὠφέλειαν (ΡΜΘ', 1009-1046).

**Γνῶναι** ἑαυτὸν πάντων μέγιστον μαθημάτων· ἑαυτὸν γάρ τις ἐὰν γνῷ, Θεὸν εἴσεται· Θεὸν δὲ εἰδώς, ἐξομοιωθήσεται Θεῷ· οὗ

χρυσοφορῶν καὶ ποδηφορῶν, ἀλλ'ἀγαθοεργῶν, καὶ ὅτι μάλιστα ὀλιγίστων δεόμενος, ἀσκεῖται κατὰ Κράτητα ὀλίγων δεηθῆναι. Τοῦτο γὰρ ἐγγυτάτω Θεῷ. Ἀνενδεὴς δὲ μόνος ὁ Θεὸς κ. ἑ. (Κλήμ. Ἀλεξ. Η',556 κ. ἑ.).

*Γνῶναι* σοφίαν καὶ παιδείαν. Πῶς δὲ οὐχὶ ἀποδοχῆς ἄξιοι οἵ τε μαθεῖν ἐθέλοντες, οἵ τε δυνάμενοι κ. ἑ. (Κλήμ. Ἀλεξ. Η', 957).

**Γνώριμος,** ὅτι καθολικόν τι σημαίνει ἡ λέξις, συλλαμβάνουσα τόν τε ἑταῖρον, καὶ τὸν ἄλλως ὁπωσοῦν συνήθη. Τιμιώτερος ὁ ἑταῖρος τοῦ ἁπλῶς συνήθους (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Β', σελ. 112).

**Γνώρισμα** ψευδοδιδασκάλων καὶ ψευδοπροφητῶν πόθεν δεῖ γνωρίζειν; Ὅτι οὐ δεῖ ἁπλῶς οὐδὲ ἀνεξαρτήτως ὑπὸ τῶν ὑποκρινομένων τὴν ἀλήθειαν συναρπάζεσθαι· ἀπὸ δὲ τοῦ δεδομένου ἡμῖν παρὰ τῆς Γραφῆς χαρακτῆρος γνωρίζειν ἕκαστον (Βασίλ. ΛΑ', 748). Χρυσοστόμου Λόγος περὶ ψευδοδιδασκάλων καὶ ψευδοπροφητῶν (ΝΘ', 553-568).

**Γνώσεις** κακαί. Ὁ τὰς κακὰς φεύγων γνώσεις, πολλῷ μᾶλλον τὰς πράξεις (Ἀθηναγ. Ϛ', 964). Οὐ μόνον τὰ ἔργα, ἀλλὰ καὶ ἡ γνῶσις τῷ Θεῷ ἀνάγει (Αὐτόθ. Ἰουστῖνος Ϛ', 349).

*Γνώσεις* ἐν τῇ Γραφῇ δύο, εἰδήσεις δύο, μία κατ' ἐνέργειαν, καὶ μία κατὰ εἴδησιν. Ἑρμηνεία διὰ Γραφικῶν χωρίων κατὰ πλάτος (Ἐπιφ. ΜΓ', 53 κ. ἑ. 212 κ. ἑ.). Γνῶσις οὐκ ἐν πᾶσι· χαρίσματα γὰρ ἔχει ἐκ Θεοῦ διαφορὰ (Αὐτόθ. 65 κ. ἑ.).

*Γνώσεις* ἀνθρώπιναι ἀναγκαῖαι. Πλάτων ὁ φιλαλήθης, οἷον θεοφορούμενος ἔλεγεν· «ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται» (Πλάτ. Κρίτων). Αἰτιᾶται γοῦν τοὺς ἄνευ νοῦ καὶ ἐπιστήμης ἀφιεμένους τοῦ ὀρθοῦ καὶ ὑγιοῦς λόγου τῷ κοινωνοῦντι τοῦ ψεύδους πιστεύειν. Τὸ μὲν γὰρ ἐψεῦσθαι τῆς ἀληθείας κακόν ἐστι· τὸ δὲ ἀληθεύειν καὶ τὰ ὄντα δοξάζειν ἀγαθόν. Τῶν δὲ ἀγαθῶν ἀκουσίως μὲν στέρονται ἄνθρωποι· στέρονται δὲ ὅμως, ἢ κλαπέντες ἢ γοητευθέντες ἢ βιασθέντες καὶ μὴ πιστεύσαντες κ. ἑ. (Κλήμ. Ἀλεξ. Η', 737-740).

Φιλοσοφία, διαλεκτική, ῥητορικὴ ἀναγκαῖαί εἰσιν εἰς τὴν τῆς θείας Γραφῆς κατάληψιν. Ἔνιοι δέ, εὐφυεῖς οἰόμενοι εἶναι, ἀξιοῦσι μήτε φιλοσοφίας ἅπτεσθαι, μήτε διαλεκτικῆς, ἀλλὰ μηδὲ τὴν φυσικὴν θεωρίαν ἐκμανθάνειν· μόνην δὲ καὶ ψιλὴν τὴν πίστιν ἀπαιτοῦσιν· ὥσπερ εἰ μηδεμίαν ἠξίουν ἐπιμέλειαν ποιησάμενοι τῆς ἀμπέλου, εὐθὺς ἐξ ἀρχῆς τοὺς βότρυας λαμβάνειν. «Ἄμπελος» δὲ ὁ Κύριος ἀλληγορεῖται, παρ' οὗ μετ' ἐπιμελείας καὶ τέχνης γεωργικῆς τῆς κατὰ Λόγον τὸν καρπὸν τρυγητέον κ. ἑ. (Κλήμ. Η', 740 κ. ἑ.).

Περὶ διαφόρων εἰδῶν γνώσεως· οἷον ἐπιστήμης, ἐμπειρίας, εἰδήσεως· καὶ ὁρισμὸς ἑκάστης (Κλήμ. αὐτόθ. 1013).

**Γνώσεως** ὁ Λόγος ὁ τοῦ Θεοῦ ἄρχων. Ὃν ἄρχοντα εἰλήφαμεν γνώσεώς τε καὶ βίου καὶ οὐ τὴν τάξιν φυλάττομεν, ὡς στρατιώτης στρατηγοῦ ἐν πολέμῳ. Οἱ πολλοὶ δὲ οὐδὲ τοῦτο ἐξητάκασιν, εἰ ἔστι τινὶ ἀκολουθητέον, καὶ τίνι τούτῳ, καὶ ὅπως κ. ἑ. (Αὐτόθ. 537 κ. ἑ.). Ἀλλ' οὐ πάντων ἡ γνῶσις. Ὁ γνωστικὸς ἄρα μόνος ἐν ταῖς Γραφαῖς ἐγγηράσας, τὴν ἀποστολικὴν καὶ ἐκκλησιαστικὴν σώζων ὀρθοτομίαν τῶν δογμάτων κατὰ τὸ Εὐαγγέλιον ὀρθότατα βιοῖ. Τὰ δὲ ἔργα καὶ οἱ λόγοι αὐτοῦ τῇ τοῦ Κυρίου ἀκόλουθοί εἰσι παραδόσει· ἡ γνῶσις φυσιοῖ· ἀλλ' ἡ δοκοῦσα. Ἑρμηνεία ἀμφοτέρων (Αὐτ. 544 κ.ἑ.).

Τὰ τῆς γνώσεως, τὰ μὲν ἤδη μετέχομεν· τὰ δέ, δι' ὧν ἔχομεν, βεβαίως ἐλπίζομεν· οὔτε γὰρ πᾶν κεκομίσμεθα, οὔτε παντὸς ὑστεροῦμεν· ἀλλ' οἷον ἀρραβῶνα τῶν αἰωνίων ἀγαθῶν καὶ τοῦ πατρῴου πλούτου προσειλήφαμεν. Τὰ δὲ ἐφόδια τῆς Κυριακῆς ὁδοῦ οἱ μακαρισμοὶ τοῦ Κυρίου κ. ἑ. (Αὐτόθ. Κλήμ. Ἀλεξ. Θ', 704 κ. ἑ.).

**Γνωσιμαχεῖν.** Οὐ τῷ ἀποστῆναι τῶν συγγνώμης μειζόνων πταισμάτων γνωσιμαχεῖ, ἀλλὰ τῷ δοκεῖν ἀπολογεῖσθαι ἀναισχυντεῖ. Τίνος ὢν ἐνδεὴς ἐπίπρασκε τὰς χειροτονίας; κ. ἑ. Γνωσιμαχείτω τοιγαροῦν καὶ μὴ δοκείτω ἀπιθάνῳ ἀπολογεῖσθαι· οὐ γὰρ ἀπολύεται τὰ ἐγκλήματα, ἀλλὰ καὶ γέλωτα προσοφλισκάνει (Ἰσίδ. Πηλ. ΟΗ', 513).

Καὶ τὸ μὴ μεταγινώσκειν πταίοντα ὀλέθριον· καὶ τὸ ἀπογινώσκειν ὀλεθριώτερον. Τὸ μὲν γὰρ ἀπὸ ῥᾳθυμίας, τὸ δὲ ἀπὸ ἀναλγη-

σίας φύεται κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 537). Ἐξαλείψατε τὴν κωμῳδίαν· ἐξαλείψετε δέ, εἰ γνωσιμαχήσητε· γνωσιμαχήσετε δέ, εἰ πεισθείητε ἀληθεῖς εἶναι τὰς Γραφὰς κ. ἑ. (Αὐτόθ. 608-609).

*Γνωσιμαχεῖν*. Ὅτι χρὴ τὸ φρόνημα τῶν σφαλλομένων, μὴ οἰομένων δὲ σφάλλεσθαι, καθαιρεῖν· γνωσιμαχοῦσι δὲ συγγνώμην νέμειν (Ἰσίδ. Πηλ. ΟΗ', 1097).

*Γνωσιμαχεῖν*. Περὶ γνωσιμαχούντων. Μελέτη τροφός ἐστιν ἐπιστήμης (Φίλων). Ἀρετὴ ἀμελέτητος ἐν τοῖς ἔργοις ἢ τάχος ὑπὸ τῶν περιστάσεων ἀφανίζεται (Θεότιμ. Σκυθίας).

Ἐκ μελέτης πολλῆς καὶ ἀσκήσεως ἡ βία καὶ ἡ ἀγριότης τῶν παθῶν ἀσθενεῖ (Δίδυμ. —Λεόντιος ΠϚ', 2072).

*Γνωσιμαχεῖν*. Ἱερὰ Παράλληλα περὶ γνωσιμαχούντων (Ἰωάνν. Δαμασκ. ϞΕ', 1312). Περὶ γνωσιμαχούντων καὶ ἑαυτοὺς καταμεμφομένων (Αὐτ. ϞϚ', 516). Περὶ διορθώσεως βίου κακοῦ ἐπὶ τὸ ἀγαθόν (Αὐτόθ. 517).

**Γνωσιμάχοι** αἱρετικοί. Οἱ πάσῃ γνώσει τοῦ Χριστιανισμοῦ ἀντιπίπτοντες, ἐν τῷ λέγειν αὐτούς, ὅτι περισσόν τι ποιοῦσιν οἱ γνώσεις τινὰς ἐκζητοῦντες ἐν ταῖς θείαις Γραφαῖς. Οὐδὲν γὰρ ἄλλο ζητεῖ ὁ Θεὸς παρὰ Χριστιανοῦ, εἰ μὴ πράξεις καλάς. Ἀγαθὸν οὖν ἐστι μᾶλλον ἁπλουστέρως τινὰ πορεύεσθαι καὶ μηδὲν δόγμα γνωστικῆς πραγματείας πολυπραγμονεῖν (Ἰωάνν. Δαμασκ. ϞΔ', 757).

**Γνῶσις** ἡ ἡμετέρα διὰ συμβόλων καὶ παραπετασμάτων ἀναλόγως τῇ δυνάμει ἡμῶν ἐδόθη κ. ἑ. (Διον. Ἀρεοπ. Γ', 620-621). Ἐν τίσιν ἡ γνῶσις ἡμῶν πλανᾶται καὶ μωρία καλεῖται (Αὐτόθ. 878). Γνῶσις, ἡ θεία πίστις, ἡ μόνιμος τῶν πεπεισμένων ἵδρυσις, ἡ ἐνιδρύουσα τοὺς πιστεύοντας τῇ ἀληθείᾳ κ. ἑ. (Αὐτόθ. 878 κ. ἑ.).

Ἐν γνώσει ἁμαρτάνειν. Ἐν γνώσει δὲ ἁμαρτάνοντας καλεῖ τὰ Λόγια τοὺς περὶ τὴν ἄληστον τοῦ ἀγαθοῦ γνῶσιν ἢ τὴν ποίησιν ἐξασθενοῦντας, καὶ τὸ θέλημα εἰδότας καὶ μὴ ποιοῦντας κ. ἑ. (Αὐτόθ. 732-736).

*Γνῶσις* ἀληθὴς ἡ τῶν Ἀποστόλων διδαχή, καὶ τὸ ἀρχαῖον τῆς Ἐκκλησίας σύστημα κατὰ παντὸς τοῦ κόσμου (Εἰρην. Ζ', 1077). Ἔστι μὲν ἡ γνῶσις ἡ ἀληθινὴ ἡ κατὰ Χριστὸν σύνεσις, ἣν ὁ Παῦλος καλεῖ τὴν σοφίαν Θεοῦ ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἣν ὁ ψυχικὸς ἄνθρωπος οὐ δέχεται κ. ἑ. (Αὐτόθ. 1248-1253).

*Γνῶσις*. Περὶ ποικίλων βαθμίδων γνώσεως εἰς τελειότητα ἀγουσῶν (Κλήμ. Θ', 336-359).

Τὴν ἀληθῆ γνῶσιν πολεμεῖ ἡ ψευδής, ἡ πίστις οὖν ἥ τε γνῶσις τῆς ἀληθείας ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν κατασκευάζουσι τὴν ἑλομένην αὐτὰς ψυχήν. Συγγενὲς δὲ τῷ ψεύδει μετάβασις, ἐκτροπὴ καὶ ἀπόστασις. Καθάπερ οὖν τὴν φιλοσοφίαν ὁ τῦφος καὶ ἡ οἴησις διαβέβληκεν, οὕτως καὶ τὴν γνῶσιν ἡ ψευδὴς γνῶσις, ἥ τε ὁμωνύμως καλουμένη κ. ἑ. (Κλήμ. Η', 989).

*Γνῶσις* λογική, ἧς θεμέλιος ἡ ἁγία Τριάς, πίστις, ἐλπίς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη. Ἀμέλει «Πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ κ. ἑ. (Α' Κορινθ. ι', 23). Ἑρμηνεία τοῦ χωρίου (Κλήμ. αὐτόθ. 1265 κ. ἑ.).

*Γνῶσις* φιλοθέου. Κἂν μισῶσι τὸν ἐκλεκτόν τινες, οἶδεν οὗτος τὴν ἄγνοιαν αὐτῶν, οἰκτείρων τὴν γνώμην αὐτῶν. Εἰκότως οὖν ἡ γνῶσις αὕτη ἀγαπᾷ καὶ τοὺς ἀγνοοῦντας διδάσκει καὶ παιδεύει τὴν πᾶσαν κτίσιν τοῦ παντοκράτορος Θεοῦ τιμᾶν. Εἴ γε ἀγαπᾶν μεμάθηκε τὸν Θεόν, οὐχ ἕξει τὴν ἀρετὴν ἀπόβλητον οὗτος οὐδαμῶς, οὔτε ὕπαρ οὔτε ὄναρ, οὐδὲ κατὰ φαντασίαν τινά. Ἐπεὶ μηδ' ἐξίσταταί ποθ' ἑαυτῆς ἡ ἕξις, ἀποπεσοῦσα τοῦ ἕξις εἶναι. Εἴτ' οὖν ἕξις ἡ γνῶσις, εἴτε διάθεσις εἶναι λέγοιτο κ. ἑ. (Κλήμ. Η', 1348-1349).

*Γνῶσις* καὶ γνῶθι σαυτόν. Πάντες, ὡς ἔπος εἰπεῖν, οἱ θεολογήσαντες, βάρβαροί τε καὶ Ἕλληνες, τὰς μὲν ἀρχὰς τῶν πραγμάτων ἀπεκρύψαντο, τὴν δὲ ἀλήθειαν αἰνίγμασι καὶ συμβόλοις, ἀλληγορίαις τε καὶ μεταφοραῖς αὖ καὶ τοιουτοισί τισι τρόποις παραδεδώκασιν· ὁποῖα καὶ παρ' Ἕλλησι τὰ μαντεῖα· καὶ ὅ γε Ἀπόλλων ὁ Πύθιος Λοξίας λέγεται.

Ναὶ μὴν καὶ τῶν παρ' Ἕλλησι σοφῶν καλουμένων τὰ ἀποφθέγματα ὀλίγαις λέξεσι μείζονος πράγματος δήλωσιν ἐμφαίνει· οἷον ἀμέλει τὸ «Χρόνου φείδου»· ἤτοι ἐπεὶ ὁ βίος

βραχύς, καὶ οὐ δεῖ τὸν χρόνον τοῦτον εἰς μάτην καταναλῶσαι· ἢ κατ' ἐναντιότητα, φείσασθαι τῶν ἀναλωμάτων τῶν ἰδιωτικῶν, ἵνα, κἂν πολλὰ ἔτη ζήσῃς, φησί, μὴ ἐπιλείπῃ σοι τὰ ἐπιτήδεια. Ὡσαύτως καὶ τὸ «Γνῶθι σαυτὸν» πολλὰ ἐπιδείκνυται· καὶ ὅτι θνητὸς εἶ, καὶ ὅτι ἄνθρωπος ἐγένου· καὶ ἤδη πρὸς τὰς ἄλλας τοῦ βίου ὑπεροχὰς κατὰ σύγκρισιν, ὅτι οὐδενὸς λόγου ὑπάρχει, ἔνδοξον λέγων ἢ πλούσιον· ἢ τοὐναντίον, ὅτι, πλούσιος ὢν καὶ ἔνδοξος, οὐ παρὰ μόνῳ σεμνύνῃ πλεονεκτήματι· καὶ εἰς τί γέγονας γνῶθι, φησί, καὶ τίνος εἰκὼν ὑπάρχεις· τίς τέ σου ἡ οὐσία, καὶ τίς ἡ δημιουργία, καὶ ἡ πρὸς τὸ θεῖον οἰκείωσις τίς, καὶ τὰ τούτοις ὅμοια (Κλήμ. Θ', 40-41 κ. ἑ.).

*Γνῶσις* καὶ ὁρμή, ἄμφω δυνάμεις τῆς ψυχῆς. Εὑρίσκεται δὲ ἡ ὁρμὴ μετά τινα συγκατάθεσιν κίνησις οὖσα· ὁ γὰρ ὁρμήσας εἴς τινα πρᾶξιν πρότερον τὴν γνῶσιν τῆς πράξεως λαμβάνει, δεύτερον δὲ τὴν ὁρμήν. Ἐπειδὴ γὰρ τὸ μαθεῖν τοῦ πρᾶξαι πρεσβύτερόν ἐστι· φύσει γὰρ ὁ πράττων τοῦτο, ὃ ἔπραξε βουληθείς, μανθάνει πρότερον· καὶ ἡ μὲν γνῶσις ἐκ τοῦ μαθεῖν· τὸ πρᾶξαι δὲ ἐκ τοῦ ὁρμῆσαι· κἀκ τοῦ μανθάνειν ἡ γνῶσις κ. ἑ. (Αὐτόθ. Θ', 289 κ. ἑ.).

*Γνῶσις*. Πολὺ δὲ μᾶλλον ἡ μεγέθει πασῶν μαθήσεων καὶ ἀληθείᾳ διαφέρουσα γνῶσις χαλεπωτάτη κτήσασθαι, καὶ ἐν πολλῷ καμάτῳ περιγίνεται κ. ἑ. (Αὐτόθ. 317 κ. ἑ.). Τελειότατον ἄρα ἀγαθὸν ἡ γνῶσις, δι' αὐτὴν οὖσα αἱρετή· κατ' ἐπακολούθημα δὲ καὶ τὰ διὰ ταύτης ἀκολουθοῦντα καλά. Δεξώμεθα οὖν τὴν γνῶσιν οὐ τῶν ἀποβαινόντων ἐφιέμενοι, ἀλλ' αὐτοῦ ἕνεκα τοῦ γινώσκειν ἀσπαζόμενοι. Πρώτη γὰρ ὠφέλεια ἡ ἕξις ἡ γνωστική, ἡδονὰς ἀβλαβεῖς παρεχομένη καὶ ἀγαλλίασιν, καὶ νῦν καὶ εἰς ὕστερον (Αὐτόθ. 320). Γνώσει μὲν ἕπεται φρόνησις, σωφροσύνη δὲ τῇ φρονήσει. Εἰρήσθω γὰρ τὴν μὲν φρόνησιν ὑπάρχειν γνῶσιν θείαν καὶ ἐν τοῖς θεοποιουμένοις (τοῖς ἁγίοις), τὴν δὲ σωφροσύνην θνητὴν καὶ ἐν ἀνθρώποις εἶναι φιλοσοφοῦσιν, οὐδέπω σοφοῖς κ. ἑ. (Αὐτόθ. 349 κ. ἑ.).

*Γνῶσις* ἀληθὴς εἰς ἐπίγνωσιν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἀμέλει καὶ τῶν ἐπιβοωμένων τὸν Κύριον αὐτόν, «Οἱ πολλοὶ μέν, Υἱὲ Δαβίδ, ἐλέησόν με», ἔλεγον· ὀλίγοι δὲ καὶ ἐγίνωσκον Υἱὸν τοῦ Θεοῦ, καθάπερ ὁ Πέτρος· ὃν καὶ ἐμακάρισε κ. ἑ. (Αὐτόθ. 357 κ. ἑ.).

*Γνῶσις*, τελείωσις τῆς πίστεως. Ἐὰν μὴ πλεονάσῃ ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ φαρισαίων, τῶν κατὰ ἀποχὴν κακῶν δικαιουμένων, σὺν τῷ μετὰ τῆς ἐν τούτοις τελειώσεως καί, τῷ τὸν πλησίον ἀγαπᾶν καὶ εὐεργετεῖν δύνασθαι, οὐκ ἔσεσθε βασιλικοί. «Εἰ μέντοι νόμον τελεῖτε βασιλικόν, κατὰ τὴν Γραφήν, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν, καλῶς ποιεῖτε». (Ἰακωβ. β', 8). Τὴν γνῶσιν διδάσκει καὶ ὁ Ἀπόστολος τελείωσιν εἶναι τῆς πίστεως, ἐπέκεινα περισσεύειν τῆς κατηχήσεως κατὰ τὸ μεγαλεῖον τῆς τοῦ Κυρίου διδασκαλίας, καὶ τὸν ἐκκλησιαστικὸν κανόνα. Διὸ καὶ ὑποβὰς ἐπιφέρει· «Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει» (Β' Κορινθ. ια', 6) (Κλήμ. αὐτόθ. 397).

Ἡ γὰρ τῶν νοητῶν γνῶσις καὶ κατάληψις βεβαία δεόντως ἂν λέγοιτο ἐπιστήμη, ἧς τὸ μὲν περὶ τὰ θεῖα ἔργον ἔχειν σκοπεῖν, τί μὲν τὸ πρῶτον αἴτιον, τί δέ, δι' οὗ τὰ πάντα ἐγένετο, καὶ χωρὶς οὗ γέγονεν οὐδέν· τίνα τε αὖ τὰ μὲν ὡς διήκοντα, τὰ δὲ ὡς περιέχοντα, καὶ τίνα μὲν συνημμένα, τίνα δὲ διεζευγμένα· καὶ τίνα τούτων ἕκαστον ἔχει τάξιν, καὶ ἣν δύναμιν, καὶ ἣν λειτουργίαν εἰσφέρεται ἕκαστον· ἔν τε αὖ τοῖς τοῖς ἀνθρωπίνοις, τί τε αὐτός ἐστιν ἄνθρωπος, καὶ τί αὐτῷ κατὰ φύσιν ἢ παρὰ φύσιν ἐστὶ κτλ. (Κλήμ. αὐτόθ. 421 κ. ἑ.).

*Γνῶσις* Θεοῦ. Μέγιστον ἡ γνῶσις τοῦ Θεοῦ· διὸ καὶ ταύτῃ σώζεται τὸ ἀναπόβλητον τῆς ἀρετῆς. Ὁ δὲ ἐγνωκὼς τὸν Θεὸν ὅσιος καὶ εὐσεβὴς κ. ἑ. (Αὐτόθ. 468). Ἔστι γάρ, ὡς ἔπος εἰπεῖν, ἡ γνῶσις τελείωσίς τις ἀνθρώπου, διὰ τῆς τῶν θείων ἐπιστήμης συμπληρουμένη, κατά τε τὸν τρόπον καὶ τὸν βίον καὶ τὸν λόγον σύμφωνος καὶ ὁμόλογος ἑαυτῇ τε καὶ τῷ θείῳ λόγῳ. Διὰ ταύτης γὰρ τελειοῦται ἡ πίστις κ. ἑ. (Αὐτόθ. 477).

*Γνῶσις* διαφέρει σοφίας. Γνῶσιν δὲ σοφίας τῆς κατὰ διδασκαλίαν ἐγγινομένης διαφέρειν φαμέν· ἡ μὲν γὰρ τί ἐστι γνῶσις, τοῦτο πάντως καὶ σοφία τυγχάνει· ἡ δέ τι σοφία, οὐ

πάντως γνῶσις. Ἐν μόνῃ γὰρ τῇ τοῦ προφορικοῦ λόγου τὸ τῆς σοφίας ὄνομα φαντάζεται. Πλὴν ἀλλὰ τὸ μὴ διστάσαι περὶ Θεοῦ, πιστεῦσαι δέ, θεμέλιος γνώσεως. Ἄμφω δὲ ὁ Χριστός, ὅ τε θεμέλιος, ἥ τε ἐπικοδομή, δι' οὗ καὶ ἡ ἀρχὴ καὶ τὰ τέλη. Καὶ τὰ μὲν ἄκρα οὐ διδάσκεται, ἡ ἀρχὴ καὶ τὸ τέλος· πίστις, λέγω, καὶ ἡ ἀγάπη· ἡ γνῶσις δέ, ἐκ παραδόσεως διαδιδομένη κατὰ χάριν Θεοῦ, τοὺς ἀξίους σφᾶς ἑαυτοὺς τῆς διδασκαλίας παρεχομένους οἷον παρακαταθήκη ἐγχειρίζεται, ἀφ' ἧς τὸ τῆς ἀγάπης ἀξίωμα ἐκλάμπει, ἐκ φωτὸς εἰς φῶς κ. ἑ. (Αὐτόθ. 477—480). Οἱ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι καὶ ἐπὶ γῆς οἰκιζόμενοι. Τούτων δὲ αὐτῶν οἱ φιλοσοφίᾳ ἱκανῶς καθηράμενοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἔπειτα χρόνον, καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται (Πλάτ. εἰς Φαίδ. αὐτόθ. σημ.).

Οὔποτε οὖν ἄγνοια γίνεται ἡ γνῶσις, οὐδὲ μεταβάλλει τὸ ἀγαθὸν εἰς κακόν· διὸ καὶ ἐσθίει καὶ πίνει, καὶ γαμεῖ, οὐ προηγουμένως, ἀλλὰ ἀναγκαίως. Τὸ γαμεῖν δέ, ἐὰν ὁ Λόγος αἱρῃ, λέγω, καὶ ὡς καθήκει, γενόμενος γὰρ τέλειος, εἰκόνας ἔχει τοὺς Ἀποστόλους, καὶ τῷ ὄντι ἀνὴρ οὐκ ἐν τῷ μονήρει ἐπανελέσθαι δείκνυται βίον, ἀλλ' ἐκεῖνος ἄνδρας νικᾷ, ὁ γάμῳ καὶ παιδοποιίᾳ καὶ τῇ τοῦ οἴκου προνοίᾳ ἀνηδόνως τε καὶ ἀλύπως ἐγγυμνασάμενος μετὰ τῆς τοῦ οἴκου κηδεμονίας, ἀδιάσπαστος τῆς τοῦ Θεοῦ γενόμενος ἀγάπης καὶ πάσης κατεξανιστάμενος πείρας, τῆς διὰ τέκνων καὶ γυναικός, οἰκετῶν τε καὶ κτημάτων προσφερομένης· τῷ δὲ ἀοίκῳ τὰ πολλὰ εἶναι συμβέβηκεν ἀπειράστῳ. Μόνου γὰρ ἑαυτοῦ κηδόμενος ἡττᾶται πρὸς τοῦ ἀπολειπομένου μὲν κατὰ τὴν ἑαυτοῦ σωτηρίαν, περιττεύοντος δὲ ἐν τῇ κατὰ τὸν βίον οἰκονομίᾳ, ἀτέχνως σῴζοντος ὀλίγην τῇ τῆς ἀληθείας προνοίᾳ κ. ἑ. (Αὐτόθ. 497-500).

*Γνῶσις* καὶ ἀναγκαία καὶ ὠφέλιμος. Ἀναγκαία γὰρ ἡ γνῶσις καὶ πρὸς ψυχῆς γυμνασίαν, καὶ πρὸς σεμνότητα ἤθους, ἀξιοπρεπεστέρους ποιοῦσα τοὺς πιστούς, καὶ τῶν πραγμάτων ἀκριβεῖς θεατάς. Ὡς γὰρ οὐκ ἔστι πιστεῦσαι ἄνευ κατηχήσεως, οὕτως οὐδὲ καταλαβέσθαι ἄνευ γνώσεως.

Τῶν γὰρ εὐχρήστων καὶ ἀναγκαίων εἰς σωτηρίαν, οἷον Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, ἀλλὰ καὶ τῆς ἡμετέρας ψυχῆς δεῖ πάντως καὶ τὸν περὶ αὐτῶν λόγον, ὅς ἐστι γνωστικός, εὔχρηστον ὁμοῦ καὶ ἀναγκαῖον τυγχάνειν. Τοῖς δὲ καὶ τὴν προστασίαν ἐπανῃρημένοις τοῦ ὠφελεῖν εὔχρηστος ἡ πολυπειρία πρὸς τὸ μὴ διαλαθεῖν τι τῶν δοκούντων παρ' ἄλλοις ἀναγκαίως καὶ πολυμαθῶς ἐπιγνῶσθαι· φέρει δὲ καὶ ἄλλην συγγυμνασίαν ψυχῆς ζητητικῆς ἡ τῆς ἑτεροδόξου διδασκαλίας ἔκθεσις, καὶ ἀνεξαπάτητον τἀληθοῦς τηρεῖ τὸν μαθητὴν περισαλπίζεσθαι πάντοθεν ἤδη προμεμελετηκότα τοῖς πολεμικοῖς ὀργάνοις (Αὐτόθ. 713).

*Γνῶσις* Θεοῦ ἐν ἡμῖν αὐτοῖς ἐστι, καὶ ἀφ' ἡμῶν εὑρεῖν τὴν ἀρχὴν δυνατόν, καθὼς καὶ Μωϋσῆς ἐδίδασκε λέγων· «Τὸ ῥῆμα τῆς πίστεως ἐντὸς τῆς καρδίας σοῦ ἐστιν» (Δευτερ. λ', 14). Ὅπερ καὶ ὁ Σωτὴρ σημαίνων καὶ βεβαιῶν ἔλεγεν· «Ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστι» (Λουκ. ιζ', 21) (Ἀθαν. ΚΕ', 60). Γνῶσις Θεοῦ διὰ τῆς τάξεως καὶ ἁρμονίας τῆς κτίσεως (Αὐτόθ. 69 κ. ἑ.).

*Γνῶσις*. Τί πρότερον, ἡ γνῶσις ἢ ἡ πίστις; ἡμεῖς δὲ λέγομεν, ὅτι καθόλου μὲν ἐπὶ τῶν μαθημάτων πίστις γνώσεως προηγεῖται. Ἐπὶ δὲ τοῦ καθ' ἡμᾶς λόγου, κἂν λέγῃ τις προκατάρχειν τὴν γνῶσιν τῆς πίστεως, οὐ διαφερόμεθα· γνῶσιν μέντοι τὴν τῇ ἀνθρωπίνῃ καταλήψει σύμμετρον κ. ἑ. (Βασίλ. ΛΒ', 872 κ. ἑ.). Τὸ τῆς γνώσεως ὄνομα πολυσήμαντόν ἐστιν (Αὐτόθ. 872—876). Ἡ γνῶσις πολλοῖς τρόποις νοεῖται. Ὃ οἶδας σέβεις, ἢ ὃ ἀγνοεῖς; Ἀπόκρ. (Αὐτόθ. 868). Πολλαπλῆ τὸ εἶδος (Αὐτόθ. 956). Γινώσκειν ἑαυτὸν δύσκολον (Αὐτόθ. 1356). Χριστοῦ βασιλείαν φασὶν εἶναι πᾶσαν τὴν ἔνυλον γνῶσιν· τοῦ δὲ Θεοῦ καὶ Πατρὸς τὴν ἄϋλον, καὶ ὡς ἂν εἴποι τις αὐτῆς θεότητος θεωρίαν (Βασίλ. αὐτόθ. 256)..

*Γνῶσις* πάντων· οὐκ ἦν συμφέρον ἔχειν ἡμᾶς· διὰ τί; (Ἰσίδ. Πηλ. ΟΗ', 1145—1213).

*Γνῶσις*. Τίς ἡ πρὸ τοῦ Εὐαγγελίου, ἡ ἐν

τῷ Εὐαγγελίῳ καὶ ἡ ἐν τῷ μέλλοντι αἰῶνι γνῶσις ἡμῶν; (Βασίλ. ΛΑ', 681 κ. ἑ.).

*Γνῶσις* Θεοῦ πῶς προσκτᾶται; «Σχολάσατε καὶ γνῶτε, ὅτι ἐγώ εἰμι ὁ Θεός (Ψαλμ. με', 11). Ἐφ' ὅσον μὲν τοῖς ἔξω πράγμασι σχολάζομεν, οὐ δυνάμεθα χωρῆσαι γνῶσιν Θεοῦ. Τίς γὰρ μεριμνῶν τὰ τοῦ κόσμου καὶ ἐμβαθύνων τοῖς περισπασμοῖς τῆς σαρκός, δύναται τοῖς περὶ Θεοῦ λόγοις προσέχειν καὶ τῇ ἀκριβείᾳ τῶν τηλικούτων θεωρημάτων ἀρκεῖν; κ. ἑ. Ἑρμηνεία εἰς τὸ «Σχολάσατε καὶ γνῶτε» (Βασίλ. ΚΘ', 428. — Ἀναστ. Σιν. ΠΘ', 828 κ. ἑ.).

*Γνῶσις* Θεοῦ. Εἰ τὸ γνῶναι τὸν Θεὸν μακαριότης, ὁποῖόν ἐστι τὸ γινωσκόμενον (Γρηγ. Ναζ. ΛΕ', 1164). Τῆς φύσεως καὶ τῶν πραγμάτων μόνας τὰς σκιὰς γινώσκομεν (Αὐτόθ. 421, 449).

Ὄντως ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα· διότι οὐκ εὐφραίνει τὸ εὑρεθὲν τοσοῦτον, ὅσον λυπεῖ τὸ ἀπορούμενον· «Εἶπα, σοφισθήσομαι· καὶ αὕτη ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν. Καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτό;» (Ἐκκλ. ζ', 25). Ὅτι ἐν πλήθει σοφίας, πλῆθος γνώσεως, καὶ ὁ προστιθεὶς γνῶσιν προσθήσει ἄλγημα (Αὐτόθ. α', 18).

Τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ καὶ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι, καὶ συνθεὶς ζῷον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον Θεοῦ, καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; (Γρηγ. Ναζ. ΛΕ', 481).

*Γνῶσις* ψευδώνυμος. Πρὸς τοὺς ἐν λόγῳ κομψοὺς ὁ λόγος. Καὶ ἵνα ἀπὸ τῆς Γραφῆς ἄρξωμαι «Ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν, καὶ παίδευσιν, καὶ ἀκοήν, καὶ διάνοιαν» (Ἱερεμ. κζ', 31). Εἰσὶ γάρ, εἰσί τινες, οἱ τὴν ἀκοὴν προκνώμενοι καὶ τὴν γλῶσσαν, ἤδη δέ, ὡς ὁρῶ, καὶ τὴν χεῖρα τοῖς ἡμετέροις λόγοις, καὶ χαίροντες ταῖς βεβήλοις κενοφωνίαις καὶ ἀντιθέσεσι τῆς ψευδωνύμου γνώσεως καὶ ταῖς εἰς οὐδὲν χρήσιμον φερούσαις λογομαχίαις. Οὕτω γὰρ ὁ Παῦλος καλεῖ πᾶν τὸ ἐν λόγῳ περιττὸν καὶ περίεργον, ὁ τοῦ συντετμημένου λόγου κῆρυξ καὶ βεβαιωτής, ὁ τῶν ἁλιέων μαθητὴς καὶ διδάσκαλος (Τιμ. 6', δ', 3. α', ϛ', 4). Οὗτοι δέ, περὶ ὧν ὁ λόγος, εἴθε μέν, ὥσπερ τὴν γλῶσσαν εὔστροφον ἔχουσι, καὶ δεινὴν ἐπιθέσθαι λόγοις εὐγενεστέροις τε καὶ δοκιμωτέροις, οὕτω τι καὶ περὶ τὰς πράξεις ἠσχολοῦντο. Μικρὸν οὖν, καὶ ἴσως ἧττον ἂν ἦσαν σοφισταὶ καὶ κυβισταὶ λόγων ἄτοποι καὶ παράδοξοι, ἵν' εἴπω τι καὶ γελοίως περὶ γελοίου πράγματος (Γρηγ. Ναζ. ΛϚ', 12-13 κ. ἑ.).

Ἡ δὲ γνῶσις οὐ πανταχοῦ τὴν ἐπιστήμην τε καὶ τὴν εἴδησιν ὑφηγεῖται κατὰ τὸ σημαινόμενον, ἀλλὰ τὴν πρὸς τὸ κεχαρισμένον διάθεσιν· ὡς ἔγνω Κύριος τὰς ὄντας αὐτοῦ (Β' Τιμ. 6', 19) κ. ἑ. Ἐκ γὰρ σοφίας ἡ γνῶσις συνίσταται· ἡ γνῶσις εὐκολωτέραν ἡμῖν ποιεῖ τὴν τοῦ προσέχοντος κρίσιν (Γρηγ. Νύσσ. ΜΔ', 197). Τοῦτο δὲ οὐκ ἀκμητὶ τοῖς σπουδάζουσι παραγίνεσθαι πέφυκεν, ἀλλ' ὁ προσθεὶς ἑαυτῷ γνῶσιν συνεπιτείνει πάντως τῇ μαθήσει τὸν πόνον. Διό φησιν· «Ὁ προσθεὶς γνῶσιν προστίθησιν ἄλγημα» (Γρηγ. Νύσσ. ΜΔ', 645).

*Γνῶσις* Θεοῦ καὶ ἀρετὴ δι' ἔργων. Ἐπειδὴ γοῦν πολλὰ τυγχάνει τὰ πρὸς γνῶσιν Θεοῦ καὶ ἀρετὴν ζητούμενα τοῖς πιστεύουσιν, ἀπαλλαγὴ παθῶν, ὑπομονὴ πειρασμῶν, ἀρετῶν λόγοι, τρόποι ἐνεργειῶν, ἐξήλωσις τῆς πρὸς σάρκα ἐμπαθοῦς διαθέσεως, ἀποξένωσις τῆς πρὸς τὰ αἰσθητὰ τῆς αἰσθήσεως σχέσεως τοῦ νοῦ παντελὴς ἀπὸ πάντων τῶν γεγονότων ἀναχώρησις, καὶ ἁπλῶς μυρία ἄλλα εἰσὶ πρὸς ἀποχὴν κακίας καὶ ἀγνωσίας· κατόρθωσιν δὲ γνώσεως καὶ ἀρετῆς, τὰ τοιαῦτα ζητοῦντες μετὰ ἐπιστήμης καὶ πίστεως ληψόμεθα κ. ἑ. (Ἀμμών. Ἀλεξ. ΠΕ', 1384-1385).

*Γνῶσις* καὶ ἄγνοια. Μηδεὶς δὲ γενεαλογεῖν ἡμᾶς ἀναγκαζέτω τὴν ἄγνοιαν, πόθεν αὕτη λέγων καὶ ἀπὸ τίνος· ἀλλ' ἐξ αὐτῆς νοείτω τῆς τοῦ ὀνόματος σημασίας, ὅτι ἡ γνῶσις καὶ ἡ ἄγνοια τῶν πρός τί πως ἔχειν τὴν ψυχὴν ἐνδείκνυται. Οὐδὲν δὲ τῶν πρός τι νοουμένων τε καὶ λεγομένων οὐσίαν παρίστησιν. Εἰ οὖν ἡ γνῶσις οὐσία οὐκ ἔστιν, ἀλλὰ περιττὴ τῆς διανοίας ἐνέργεια· πολὺ μᾶλλον ἡ ἄγνοια πόρρω τοῦ κατ' οὐσίαν εἶναι ὡμολόγηται κ. ἑ. (Γρηγ. Νύσσ. ΜϚ', 176).

Πῶς δύναταί τις ἑαυτὸν γνῶναι. Τὸ γὰρ ἑαυτὸν γνῶναι καθάρσιον τῶν ἐκ τῆς ἀγνοίας πλημμελημάτων γίνεται κ. ἑ. Παραδείγματα καὶ ἑρμηνεία (Αὐτόθ. ΜϚ', 509). Πόσον τίμιόν ἐστι τὸ δῶρον τῆς γνώσεως τὸ ὑπὸ τοῦ Θεοῦ τῷ ἀνθρώπῳ δοθέν (Αὐτόθ. ΜΔ', 805).

*Γνῶσις*. Ὁ Θεὸς οὐ κωλύει τὴν γνῶσιν τοῦ ἀγαθοῦ, ἀλλὰ θέλει μὴ εἶναι μετὰ τοῦ ἀγαθοῦ τὴν γνῶσιν τοῦ κακοῦ. Γνῶσιν εἶχεν ὁ Ἀδὰμ κ. ἑ. (Χρυσόστ. ΝϚ', 488). Ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. Χρυσοστ. Ὁμιλία καὶ ἑρμηνεία (ΞΑ', 159-170.—Ἀναστ. Σιν. ΠΘ', 625).

*Γνῶσις*. Τῆς ἀληθείας στύλος ὁ Καππαδόκης Βασίλειος, τὴν μὲν ἀπ' ἀνθρώπων, φησίν, ἐπισυμβαίνουσαν γνῶσιν προσεχὴς μελέτη καὶ γυμνασία κρείσσονα ποιεῖ. Τὴν δὲ ἐκ Θεοῦ χάριτος ἐγγινομένην, δικαιοσύνη καὶ ἀοργησία καὶ ἔλεος κ. ἑ. (Σωκρ. Ἐκκλ. Ἱστ. ΞΖ', 520 κ. ἑ. 509-521).

*Γνῶσις*. Ἡ γνῶσις δεῖται ἀναγκαίως τῆς πρακτικῆς ἀρετῆς. Ἔνθα πολλὰ Γραφικὰ παραδείγματα (Θεοδώρ. ΠΓ', 1124-1152).

*Γνῶσις*. Περὶ γνώσεως. Οὐδὲν τῆς γνώσεώς ἐστι τιμιώτερον· ἡ γὰρ γνῶσις φῶς ἐστι ψυχῆς λογικῆς· τοὔμπαλιν, ἡ ἄγνοια σκότος κ. ἑ. Πραγματεία (Ἰωάνν. Δαμασκ. ϞΔ', 529).

*Γνῶσις*. Ἐν γὰρ τῇ ἐξετάσει τῶν ὑπὲρ ἡμᾶς λόγου ἀπόδειξις ἡ σιωπή· καὶ ἡ ἐν τούτοις τῆς ἀγνοίας ὁμολογία κ. ἑ. (Γερμ. Π. Κ/πόλεως ϞΗ', 121-132).

Σύνοψις ἐν γνώσει (Μελέτ. μοναχ. ΞΔ', 1080).

**Γνῶσται.** Γνώστας καλεῖ ἡ Γραφὴ τοὺς μάντεις, τοὺς οἰομένους εἰδέναι τὰ μέλλοντα. Ὥσπερ γὰρ ὁρῶντας καὶ βλέποντας τοὺς Προφήτας ὠνόμαζον, ὡς τὰ μέλλοντα προορῶντας· οὕτω καὶ τοὺς μάντεις γνώστας ἐκάλουν, ὡς καὶ γινώσκειν τὰ κεκρυμμένα οἰομένους καὶ προγινώσκειν τὰ μηδέπω γεγενημένα (Δ' Βασιλ. ι', 11) (Θεοδώρ. Π', 769).

**Γνωστικὰ** κεφάλαια Ἡλία Ἐκδίκου (ΡΚΖ', 1140-1176).

**Γνωστικῆς** δυνάμεως ἀποτελέσματα τρία. Καί μοι καταφαίνεται τρία εἶναι τῆς γνωστικῆς δυνάμεως ἀποτελέσματα, τὸ γινώσκειν τὰ πράγματα· δεύτερον τὸ ἐπιτελεῖν ὅ,τι ἂν ὁ λόγος ὑπαγορεύῃ· καὶ τρίτον τὸ παραδιδόναι δύνασθαι θεοπρεπῶς τὰ παρὰ τῇ ἀληθείᾳ ἐπικεκρυμμένα. Ὁ τοίνυν Θεὸν πεπεισμένως εἶναι παντοκράτορα καὶ τὰ θεῖα μυστήρια παρὰ τοῦ μονογενοῦς Παιδὸς αὐτοῦ ἐκμαθών, πῶς οὗτος ἄθεος; Ἄθεος μὲν γὰρ ὁ μὴ νομίζων Θεὸν εἶναι· δεισιδαίμων δὲ ὁ δεδιὼς τὰ δαιμόνια, ὁ πάντα θειάζων καὶ ξύλον καὶ λίθον κ. ἑ. (Κλήμ. Ἀλεξ. Θ', 405-408· τὰ αὐτὰ καὶ ἐν τόμ. Η', σελ. 981 Τριῶν τοίνυν ὄντων κ. ἑ.).

**Γνωστικοὶ** αἱρετικοί. Ὡς δ' ὁ ἱερὸς τῶν Ἀποστόλων χορὸς διάφορον εἰλήφει τοῦ βίου τέλος, παρεληλύθει τε ἡ γενεὰ ἐκείνη τῶν αὐταῖς ἀκοαῖς τῆς ἐνθέου σοφίας ἐπακοῦσαι κατηξιωμένων, τηνικαῦτα τῆς ἀθέου πλάνης τὴν ἀρχὴν ἐλάμβανεν ἡ σύστασις διὰ τῆς τῶν ἑτεροδιδασκάλων ἀπάτης· οἳ καὶ ἅτε μηδενὸς ἔτι τῶν Ἀποστόλων λειπομένου, γυμνῇ λοιπὸν ἤδη τῇ κεφαλῇ τῷ τῆς ἀληθείας κηρύγματι τὴν ψευδώνυμον γνῶσιν ἀντικηρύττειν ἐπεχείρουν (Ἡγήσιππ. Ε', 1320-1324).

Διαφόρων γνωστικῶν τεμάχια ἀναφερόμενα ἐν τοῖς κατὰ αἱρέσεων βιβλίοις Εἰρηναίου (Ζ', 1264-1321). Τίς ἡ αἵρεσις αὐτῶν· τίνα τὰ δόγματα· πόθεν τὰς ἀποδείξεις ἐλάμβανον, καὶ ἀναίρεσις ἑνὸς ἑκάστου αὐτῶν (Εἰρην. αὐτόθ. 437-669). Εἰκὼν τοῦ συστήματος αὐτῶν (Αὐτόθ. 435).

*Γνωστικοὶ* αἱρετικοί. Αἵρεσις αὐτῶν· δοξασίαι καὶ ἀνασκευή (Ἐπιφ. ΜΑ', 329-364). Αἱρέσεις καὶ δόξαι αὐτῶν. Περιγραφὴ προγενεστέρα τοῦ Ἐπιφανίου (Κλήμ. Ἀλεξ. Θ', 652-697 ἐκ τῶν τοῦ Θεοδότου).

*Γνωστικοὶ* καὶ γνωστικὸς ἐν σημασίᾳ θεοφιλής, ἐνάρετος καὶ ὀρθόδοξος· χαρακτὴρ καὶ ἔργα αὐτοῦ.

Οὗτός ἐστιν ὁ κατ' εἰκόνα καὶ ὁμοίωσιν, ὁ γνωστικός, ὁ μιμούμενος τὸν Θεὸν καθόσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν· ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιούς, βασιλεύων τῶν παθῶν, μεταδιδοὺς ὧν ἔχει ὡς οἷός τέ ἐστιν εὐεργετῶν καὶ ἔργῳ καὶ λόγῳ (Κλήμ. Ἀλεξ. Η', 1040 κ. ἑ.). Ὅτι ὑπομονητικὸς καὶ εὐσταθής (Αὐτόθ. 1048). Τελείου καὶ ἀληθοῦς γνωστικοῦ ὑπόδειγμα (Αὐτόθ. 1276-1361). Ὁ ἀληθὴς γνωστικὸς οὔτε φόβῳ κινούμενος,

οὔτε ἐλπίδι μελλούσης ἀνταμοιβῆς τὸ ἀγαθὸν πράττει, ἀλλ' ἀγάπῃ μόνῃ αὐτοῦ (Αὐτόθ. 1345-1349). Ὀφείλει πάντων τῶν παθῶν κρατεῖν (Κλήμ. Θ', 292 κ. ἑ.). Παρ' ἑκάστου μαθήματος τὸ πρόσφορον τῇ ἀληθείᾳ ὀφείλει λαμβάνειν, καὶ τῆς μουσικῆς ἀναλογίαν διώκων, καὶ τὴν ἀριθμητικήν, καὶ τὴν γεωμετρίαν, καὶ τὴν ἀστρονομίαν, καὶ διαλεκτικήν. Καὶ διὰ τί (Αὐτόθ. Θ', 300 κ. ἑ.). Τίς ὁ κατ' ἀλήθειαν γνωστικός (Αὐτόθ. Η', 252 κ. ἑ.).

*Γνωστικοὶ* φθονοῦσι τοῖς οἰκείοις μᾶλλον ἢ τοῖς ἐκτός (Κλήμ. Ἀλεξ. Θ', 713).

*Γνωστικοὶ* καὶ ψυχικοί (Κλήμ. Ἀλεξ. Η', 984. — Ἐπιφ. ΜΑ', 329 κ. ἑ.).

*Γνωστικοὶ* καὶ ψυχικοί. Οὐκ ἄρα οἱ μὲν γνωστικοὶ οἱ δὲ ψυχικοὶ ἐν αὐτῷ τῷ λόγῳ, ἀλλ' οἱ πάντες ἀποθέμενοι τὰς σαρκικὰς ἐπιθυμίας ἴσοι καὶ πνευματικοὶ παρὰ τῷ Κυρίῳ (Αὐτόθ. Η', 284 σημ.). Ψυχικοὶ οἱ δι' ἔργων καὶ πίστεως ψιλῆς βεβαιούμενοι καὶ μὴ τὴν τελείαν γνῶσιν ἔχοντες (Αὐτόθ. σημ.).

Ἐργάζεται τοίνυν ὁ γνωστικὸς ἐν τῷ τοῦ Κυρίου ἀμπελῶνι, φυτεύων, κλαδεύων, ἀρδεύων, θεῖος ὄντως ὑπάρχων τῶν εἰς πίστιν καταπεφυτευμένων γεωργός (Κλήμ. Θ', 501-524). Θεῖος ἄρα ὁ γνωστικός, καὶ ἤδη ἅγιος, θεοφορῶν καὶ θεοφορούμενος (Αὐτόθ. 513). Πῶς ὁ γνωστικὸς γίνεται οὐρανοβάμων (Αὐτόθ. 516 κ. ἑ.).

Περὶ γνωστικῶν καὶ πνευματικῶν ἀνδρῶν· καὶ ὅσα ἀγαθὰ ἕψεται αὐτοῖς. Ἱερὰ Παράλληλα (Ἰωάνν. Δαμασκ. ϞΕ', 1296-1297).

**Γνωστὸς** ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός· τουτέστι τοῖς κατ' ἐπίγνωσιν Ἰσραηλίταις. Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται (Κλήμ. Ἀλεξ. Θ', 545).

**Γογγύλος,** μαγειρικὸν ὄνομα κτλ. (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Β', σελ. 232).

**Γογγόσυρος** ὁ Ἀπόλλων παρὰ Σκύθαις (Ὠριγ. ΙΑ', 1356).

**Γογγυσμός.** Ἀπαγόρευσις γογγυσμοῦ καὶ αὐθαδείας καὶ θρασύτητος μετὰ Γραφικῶν χωρίων (Διατ. Ἀποστ. Α', 1004—1005). Γογγυσμὸς ἐφάμαρτος καὶ κατακριτέος (Βασίλ. ΛΑ', 1124). Χρυσοστόμου ὁμιλία κατὰ γογγυσμοῦ (ΞΒ', 337 κ. ἑ.). Γογγυσμὸς τοῦ ἑβραϊκοῦ λαοῦ διὰ τὸν πόνον τῆς ὁδοιπορίας (Θεοδώρ. Π', 369).

*Γογγυσμός*. Περὶ τοῦ μετὰ γογγυσμοῦ ἐργαζομένου (Βασίλ. ΛΑ', 989). Ὅσοι τῶν μοναχῶν λάθρα καταμέμφονται τοῦ προεστῶτος ἐκβαλέσθωσαν τῆς ἀδελφότητος (Αὐτόθ. 1056).

*Γογγυσμός*. Ὁμιλία περὶ γογγυσμοῦ μετὰ Γραφικῶν χωρίων (Ἀντίοχ. μοναχ. ΠΘ', 1528-1532). Περὶ γογγυσμοῦ (Ἱερὰ Παράλληλα Ἰωάνν. Δαμασκ. ϞΕ', 1305).

**Γόης.** Ὁποίαις μεθόδοις οἱ θαυμάσιοι αὐτῶν θεοὶ τοῖς γόησιν ὑποτάττονται (Εὐσέβ. ΚΑ', 341). Πᾶς γόης ἀσφράγιστος ὑπάρχει· οἷον φοβεῖται τὴν σφαγῖδα τοῦ σταυροῦ (Ἀθανάσιος περὶ ἀπτῶν, ΚϚ', 1320).

*Γόης* πῦρ ἢ φλόγα ἐξάγων ἐκ τοῦ στόματος. Διήγησις περί τινος γόητος. Διόδωρος Σικελιώτης παρὰ Φωτίῳ (ΡΓ', 1405-1409).

*Γόης*. Πρὸς τοὺς οἰομένους γόητα γεγονέναι τὸν Χριστὸν τοῦ Θεοῦ. Πραγματεία καὶ ἀνασκευή (Εὐσέβ. ΚΒ', 224-248).

**Γοητεία** καὶ μαγεία διαφέρουσιν. Τὴν μαγείαν, φασίν, εὗρον Μῆδοι, εἶτα Πέρσαι. Διαφέρει δὲ μαγεία γοητείας, καὶ γοητεία φαρμακείας, τούτοις· ὅτι ἡ μὲν μαγεία ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν, πρὸς ἀγαθοῦ τινος σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου Τυανέως θεσπίσματα δι' ἀγαθὸν γεγόνασιν. Γοητεία δέ ἐστιν ἐπίκλησις δαιμόνων κακοποιῶν, περὶ τοὺς τάφους εἰλουμένων ἐπὶ κακοῦ τινος σύστασιν. Γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. Φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου ἢ πρὸς φίλτρον δοίη, ἢ καὶ ἄλλως πως προσαχθῇ τινι διὰ στόματος. Ἔνθα καὶ περὶ ὀνειρομαντείας (Νόνν. ΛϚ', 1021-1024. — Κοσμ. Ἱεροσ. ΛΗ', 491).

Περὶ γοητείας καὶ μαγείας ποιναὶ ἐκκλησιαστικαί (Θεόδ. Στουδ. ϞϚ', 1729).

**Γοητεῖαι.** Ὅτι τῶν ἀδυνάτων πέφυκε τὰς θείας δυνάμεις γοητικαῖς ἀνάγκαις καθέλκεσθαι καὶ διὰ χρησμῶν τοῖς ἐρωτῶσι θεσπίζειν (Εὐσέβ. ΚΑ', 224-225).

*Γοητεῖαι* καὶ περίαπτα (Ἀθαν. ΚϚ', 1320).

*Γοητεῖαι*, ἐπῳδαὶ καὶ περιάμματα ἐξελήλαται τῆς τοῦ Χριστοῦ διδασκαλίας (Εὐσέβ. ΚΒ', 225 κ. ἑ.).

**Γοητείας** ἀπαγόρευσις, τεκνοκτονίας, ἐπιορκίας, ψευδομαρτυρίας (Διατ. Ἀποστ. Α', 1000).

**Γόητες** τίσι πανουργίαις χρῶνται, ὅπως τοὺς ἀνθρώπους ἀπατήσωσιν; Πραγματεία καὶ ἀνασκευή (Εὐσέβ. ΚΑ', 232-240). Ὅτι ἀσύστατος αὐτῶν ἡ μαντικὴ καὶ τὰ πολλὰ ψευδομένη (Αὐτόθ. 240-245).

*Γόητες* γραῖαι, βωμολόχοι καὶ οἰκοφθόροι, καὶ διήγησις τῶν ἀτόπων αὐτῶν ἔργων καὶ πράξεων (Κλήμ. Ἀλεξ. Η', 596).

*Γόητες* καὶ ἐπαοιδοί. Ἀπαγόρευσις τοιούτων παρὰ τῆς θείας Γραφῆς (Λευϊτ. ιθ', 26, 31). Ψεῦδος, ἀπάτη καὶ αἰσχρουργίαι αὐτῶν (Κύριλλ. Ἀλεξ. ΞΗ', 468-469), ἔνθα γνῶμαι ποιητῶν, ὅτι ὕθλοι οἱ οἰωνοί.

**Γοητεύματα** πάντα, δαιμονικὴ ἐνέργεια (Εὐσέβ. ΚΑ', 225).

**Γοθολία**· θυγάτηρ Ἀχαὰβ βασιλέως Ἰσραὴλ καὶ σύζυγος Ὀχοζίου βασιλέως Ἰούδα. Ὡς δυσσεβὴς καὶ τυραννική, ἅπαν τὸ τὸ τοῦ Δαβὶδ γένος, ὡς εὐσεβές, ἐκκόψαι πρόρριζον ἠβουλήθη κ. ἑ. (Θεοδώρ. Π', 772.- Βασίλ. Δ', Η', Θ', 1.—Ζωναρ. ΡΛΔ', 201).

**Γοθολίας**, Ἰσμαὴλ καὶ Ἱερεμίας (Ζωναρ. ΡΛΔ', 221).

**Γοῖτος**, ὁ ῥύπος (Λ. Εὐστ.).

**Γολγοθᾶς**. Τῆς γὰρ γῆς τὸ μεσώτατον ὁ Γολγοθᾶς οὗτός ἐστιν. Οὐκ ἐμὸς ὁ λόγος· Προφήτης ἐστὶν ὁ φήσας· «Εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς» (Ψαλμ. ογ', 12.— Κύριλλ. Ἱεροσ. ΛΓ', 805).

*Γολγοθᾶς*. Περὶ τοῦ ναοῦ καὶ τῶν ἐγκαινίων αὐτοῦ (Σωζόμ. ΞΖ', 1008).

**Γολεάθ**, ἥρως ἐκ Γὲθ τὴν παράταξιν ὠνείδισεν Ἰσραήλ, οὐκ ἦν διαγωνιούμενος ἐκείνου προσκαλουμένου. Μέγα φρονῶν ὁ ἀλλόφυλος κ. ἑ. (Κοσμ. Ἱεροσ. ΛΗ', 475).

**Γολινδοὺχ** ἡ μάρτυς· διήγησις περὶ αὐτῆς καὶ τὰ κατ' αὐτὴν (Θεοφύλ. Σιμοκ. ἔκδ. Βόνν., σελ. 227-229).

**Γομάριος** στρατηγός (Ζώσ. ἔκδ. Βόνν., σελ. 181).

**Γόμορρα**, ἑρμηνεύεται στάσις (Βασίλ. Λ', 161).

**Γόμος** μέτρον, μόδιοι δεκάπεντε, τὸ δέκατον τῶν τριῶν μέτρων. Τὸ δέκατον τοῦ μεγάλου μέτρου, τουτέστι τῆς ἀρτάβης· ὃ γίνεται ἑπτὰ ξέσται καὶ πέμπτον (Ὠριγ. ΙΕ', 407.—Ἐπιφ. ΜΓ', 273).

*Γόμος* φορτίον, ἄχθος, μέτρον (Ἐπιφ. ΜΓ', 281).

**Γομφίος** ὀδούς, ὅτι κάμπτει τὴν τροφὴν (Λ. Εὐστ.).

**Γονάζεσθαι**· τὸ διὰ γονάτων ψαύσεως ἱκετικῶς φθέγγεσθαι, καὶ τὸ ἁπλῶς παρακαλεῖν (Λ. Εὐστ.).

**Γόνατα** θεῶν. Θεῶν ἐν γούνασι κεῖσθαι· ἀντὶ τοῦ ἐν δυνάμει, ἢ ἐν ἱκεσίᾳ· καὶ λέγεται περὶ ἐκβάσεως ἀδήλων πραγμάτων (Λ. Εὐστ.).

**Γονεῖς**. Πᾶσα φύσις τοῖς τεκοῦσι χάριν φέρει τὴν πρέπουσαν· ὁ δὲ χάριν τοῖς γονεῦσι μὴ εἰδὼς ὅμοιός ἐστι ταῖς μητροκτόνοις ἐχίδναις (Κοσμ. Ἱεροσ. ΛΗ', 665).

*Γονεῖς* ἐκ τοῦ γάμου κέκληνται· ἔνθα περὶ ἀνδρὸς καὶ γυναικός (Προκόπ. Γαζ. ΠΖ', 176-177). Ὁ μὲν γὰρ ἀνὴρ ἄμορφον καταβάλλει σπέρμα, ἡ δὲ διαπεπλασμένον εἰς ἄνθρωπον τύπον, καὶ ζῶντα προβάλλει τὰ γεννώμενα. Καὶ ὁ μὲν ἔχει τὴν τιμὴν ὡς διδοὺς τὴν ἀρχήν, ἡ δὲ ὡς μετὰ ταῦτα παρέχουσα μετὰ πλείστης ὅσης ταλαιπωρίας. Ὅθεν καὶ ὁ νόμος κοινὸς κεῖται· «Ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω» (Προκόπ. Γαζ. ΠΖ', 217).

*Γονεῖς*. Εὐλάβεια Γρηγορίου τοῦ Θεολόγου πρὸς τοὺς ἑαυτοῦ γονεῖς· ἡ ἐμὴ φροντίς, τὸ ἐμὸν ἔργον, ἡ τῶν ἱερῶν γονέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον ἢ τῷ χρόνῳ καμνόντων (Γρηγ. Ναζ. ΛΕ', 501). Γονέων αἰδὼς καὶ τιμὴ κ. ἑ. (Αὐτόθ. 660). Φίλτρον γονέων τιμᾷ ὁ Θεὸς εἰς παῖδας εὐγνώμονας, καὶ δικαίας εὐχῆς ἀκούει (Αὐτόθ. 764).

Πρὸς τοὺς ῥαθύμως ἀκούοντας καὶ μὴ τιμῶντας γονεῖς λόγος (Χρυσόστ. ΝΔ', 593-508). Ὡς δεσπόταις δούλευσον τοῖς γεννήσασί σε· διὰ τί; ἕπεται ὁ λόγος (Αὐτόθ. 597). Φυσικὴ τῶν γονέων περὶ τὰ ἔκγονα φιλία. Λόγος (Χρυσόστ. Αὐτόθ. 631-645).

Περὶ τῆς εἰς τοὺς γονεῖς τιμῆς καὶ θεραπείας (Κύριλλ. Ἀλεξ. ΞΗ', 508-517).

*Γονεῖς*. Τὴν μὲν δυσκρασίαν τῶν σωμάτων καὶ τὰ εἰδεχθῆ νοσήματα ἀπὸ ἀκρασίας τῶν γονέων πολλοῖς συμβαίνειν εἰκός. Πραγματεία (Ἰσίδ. Πηλ. ΟΗ', 1220-1221).

**Γονέων** φιλοστοργία πρὸς τὰ τέκνα καὶ περὶ τῆς θυσίας Ἰσαὰκ ὑπὸ τοῦ πατρὸς αὐτοῦ Ἀβραάμ (Γρηγ. Νύσσ. ΜϚ', 568).

Περὶ γονέων καὶ τέκνων (Διατ. Ἀποστόλ. Α', 821-824). Περὶ τῆς πρὸς τοὺς γονεῖς τιμῆς καὶ εὐλαβείας (Αὐτόθ. 1008). Γονέων ἀκρασία, παίδων νόσος (Αὐτόθ. 985-988).

Περὶ γονέων τιμῆς. Παράλληλα Ἱερά (Εὐσέβ. ΚΑ', 1013). Πολυσπούδαστόν ἐστι πᾶσιν ἀνθρώποις τὸ τῶν γονέων γλύκασμα, γνήσιον, ποθητόν, παντὸς χρυσίου τιμιώτερον κτλ. κτλ. (Ἀθαν. ΚΗ', 1001).

Ὅτι δεῖ τοὺς γονεῖς ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἐκτρέφειν τὰ τέκνα μετὰ πραότητος καὶ μακροθυμίας. Ἱερὰ Παράλληλα (Βασίλ. ΛΑ', 857). Λόγος περὶ τιμῆς γονέων καὶ γήρως καὶ νεότητος (Συμ. Μεταφρ. ΛΒ', 1377-1380).

*Γονέων* κατηγορία κατὰ παιδὸς ἔστω κοινὴ τοῦ τε πατρὸς καὶ τῆς μητρός· καὶ διὰ τί (Θεοδώρ. Π', 425).

Περὶ τιμῆς γονέων λόγος μετὰ Ἱερῶν Παραλλήλων (Ἀντιόχ. μοναχ. ΠΘ', 1765-1768).

Περὶ τιμῆς γονέων λόγος μετὰ Γραφικῶν χωρίων, τῶν Πατέρων καὶ τῶν ἔξωθεν φιλοσόφων (Μάξιμ. ϞΑ', 857-861).

Ὅςτις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
Ὅδ' ἔστι καὶ ζῶν καὶ θανὼν θεοῦ φίλος.
Οὐκ ἔστι παισὶ τούτου κάλλιον γέρας,
Ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι
Καὶ τοῖς τεκοῦσιν ἀξίαν τιμὴν νέμειν.
(Εὐριπ. παρὰ Μαξίμῳ ϞΑ', 860).

*Γονέων* ἁμαρτίαι παιδεύουσι τέκνα σωματικῶς, ἀλλ' οὐχὶ καὶ πνευματικῶς (Θέατρ. Πολιτ. σελ. 456-457 κ. ἑ.).

Ἁμαρτίαι πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν, ἆρα καὶ νῦν ἐπάγονται; Διὰ μὲν Μωϋσέως τοῦτο εἶπεν ὁ Θεός· «Ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς» (Ἔξοδ. κ', 5)· ἀλλαχοῦ δέ, «Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ οἱ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται» (Δευτερ. κδ', 16). Καί· «Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα αὕτη ἀποθανεῖται, καὶ τοῦ φαγόντος τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες» (Ἰεζ. ιη', 4).

**Γονὴ** ἀσεβείας. Ὅσοι βαστοῦσι τῆς ἀνομίας τὴν γονὴν τίκτουσι μυρία κακὰ καὶ οὐδέποτε σχολάζουσιν ἀπὸ ταύτην τὴν ψυχόλεθρον γένναν (Θέατρ. Πολ. σελ. 199 κ. ἑ.).

*Γονή*, ἡ σπέρμα ἀνθρώπου, καὶ ὅτι περίττωμά ἐστιν (Μ. Γλυκᾶς ἔκδ. Βόνν., σελ. 210—218).

**Γόννος,** πόλις Περραιβίας δυσὶ ν καὶ Γοννεῖς, πόλις Θράκης ὁμοίως (Στέφ. καὶ Λ. Εὐστ.).

**Γονόρροια,** γονορρυής· τῶν ἁγίων οὐκ ἔδεται ἕως ἂν καθαρισθῇ. Γονόρροια δὲ καρπογονίας ἐστὶν ἀπόθεσις, ῥεούσης εἰς τὸ μηδὲν τῆς φύσεως (Κύριλλ. Ἀλεξ. ΞΗ', 796).

Τὸν γονορρυοῦς ἁπτόμενον διὰ τί ἀπαγορεύει τῶν τῆς θυσίας μεταλαμβάνειν κρεῶν; (Θεοδώρ. Π', 312). Διὰ τί ὀνομάζει αὐτὸν ἀκάθαρτον; (Αὐτόθ. 324 καὶ 356).

**Γόνος,** ἀντὶ τοῦ γένος· ἡ γενεά, ἡ γέννησις· γόνος βαρυτόνως ὁ γεννώμενος· γονὸς δὲ ὀξυτόνως ὁ γόνιμος. Γόνος, τὸ σπέρμα, ἡ γονή, ἡ σπορά· ὁ γόνος πανταχόθεν ἔρχεται, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς τοῦ σώματος, ἀπό τε τῶν νοσηρῶν νοσηρός. Εἰ οὖν γίνονται ἔκ τε τῶν φαλακρῶν φαλακροί, καὶ καὶ ἐκ γλαυκῶν γλαυκοί, καὶ ἐκ διεστραμμένων στρεβλοὶ ὡς ἐπὶ τὸ πλῆθος, καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος, τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφαλον γίνεσθαι; (Ἱπποκρ. παρὰ Αἰν. Γαζ. ΠΕ', 931 σημ.) Καὶ ἀκολασία καὶ μέθη τὸ σπειρόμενον κατέβλαψε, χεῖρον παρεχομένη τὸ σπέρμα καὶ ἐξίτηλον κ. ἑ. Διὸ δὴ καὶ πατέρας τῆς τῶν τικτομένων ἀσθενείας αἰτιατέον (Αὐτόθ. 932).

**Γόνυ** κάμπτειν, παρ' Ὁμήρῳ ἀντὶ τοῦ καθεσθῆναι· παρὰ δὲ τοῖς ὕστερον ἀντὶ τοῦ ἱκετεύειν καὶ γονυπετεῖν· γόνυ κλίνειν καὶ γονυκλινεῖν συνθέτως τὸ γονυπετεῖν ἱκετευτικῶς, ἢ ἁπλῶς ἐπὶ τιμῇ τινος (Λ. Εὐστ.).

*Γόνυ* κλίνειν. Εἰ ἐν τῷ κλίνειν τὸ γόνυ ἐν ταῖς προσευχαῖς τοῦ ἑστῶτος εὔχεσθαι μᾶλλον Θεῷ τοὺς εὐχομένους παρίστησι, καὶ πλέον ἐφέλκεται τὴν θείαν συμπάθειαν, διὰ τί ἐν ταῖς Κυριακαῖς ἡμέραις, καὶ ἀπὸ τοῦ Πάσχα ἕως τῆς Πεντηκοστῆς γόνυ οὐ κλίνομεν; Πόθεν δὲ καὶ ἡ τοιαύτη ἐν ταῖς ἐκκλησίαις συνήθεια; Ἀπόκρισις. Ἐπειδὴ ἀμφοτέρων ἐχρῆν ἡμᾶς ἀεὶ μεμνῆσθαι, καὶ τῆς ἐν ταῖς ἁμαρτίαις πτώσεως ἡμῶν, καὶ τῆς χάριτος τοῦ

Χριστοῦ ἡμῶν, δι' ἧς ἐκ τῆς πτώσεως ἀνέστημεν. Ὅθεν ἡ μὲν γονυκλισία σύμβολόν ἐστι τῆς πτώσεως ἡμῶν· τὸ δὲ μὴ κλίνειν γόνυ τὰς Κυριακὰς σύμβολόν ἐστι τῆς ἀναστάσεως κ. ἑ. (Ἰουστ. Ϛ', 1364. — Εἰρην. Ζ', 1233.—Διατ. Ἀποστόλ. Α', 745-749. — Γελάσ. Κυζικ. ΠΕ', 1335. — Θεόδ. Στουδ. (ϞΘ', 1732). — Νικηφ. Π. Κ/πόλεως Ρ', 856. — Φώτ. ΡΔ', 1076).

*Γόνυ*, εἰς γόνυ ἐλθεῖν τὰ Ῥωμαίων ἐποίησε πράγματα ὁ Ἀλαμούνδαρος (Προκ. Ἱστ. ἔκδ. Βόνν., τόμ. Α', σελ. 88).

**Γονύκροτοι**, οἱ βλαισοὶ καὶ οἱ δειλοί· βλαισός, κυρτός, καμπυλογυρισμένος πρὸς τὰ ἔξω. Οὗ ἐναντίον τὸ ῥαιβός, ὁ πρὸς τὰ ἔνδον γυρισμένος (Λεξικά).

**Γονυπετεῖν** ἐπὶ ἱκεσίας καὶ προσκυνήσεως παρὰ τὸ πέτειν, ὅ ἐστι πίπτειν.

**Γόος**, ὁ μετὰ δακρύων θρῆνος.

**Γοργευόμενοι**. Πολλοὺς μὲν βλέπω γοργευομένους πρὸς τὴν ἀγρυπνίαν κ.ἑ. (Νεῖλ. ΟΘ', 92-97).

**Γοργόνες** τρεῖς ἦσαν γυναῖκες, φοβερὰ τοσοῦτον ἔχουσαι τὰ πρόσωπα, ὥστε τοὺς θεωμένους αὐτὰς παραυτίκα ἀποθνήσκειν κ.ἑ. (Νόνν. ΛϚ',1025.- Κοσμ. Ἱεροσ. ΛΗ',493).

**Γοργονία**, ἀδελφὴ Γρηγορίου τοῦ Ναζιανζηνοῦ. Ἐπιτάφιος εἰς αὐτήν (Γρηγ. Ναζ. ΛΕ', 789-816). Ἐπιγράμματα ἐπιτάφια εἰς αὐτήν (Γρηγ. Ναζ. ΛΗ', 21,22). Ἐκαλεῖτο καὶ Γοργόνιον (Αὐτόθ.)—Σύζυγος Φιλτατίου καὶ μήτηρ Ἀμφιλοχίου (Αὐτόθ. 66). Ὁ ἀνὴρ αὐτῆς μόλις συζευχθεὶς ἀπέθανεν (Αὐτόθ. 22). Δευτέρα μεταξὺ τῶν συγγενῶν Γρηγορίου ἐτελεύτησεν.

**Γοργόνιος**, μαρτυρίῳ στέφεται (Εὐσέβ. Κ', 752).

**Γοργύρα**, ὑπόνομός τις βορβορώδης, οὕτω καλούμενος (Λ. Εὐστ.).

**Γοργώ**, πόλις Οὔννων μὴ νομάδων(Προκ. Ἱστ. ἔκδ. Βόνν., τόμ. Α', σελ. 16, 20).

**Γοργών**, δαιμόνιόν τι καταπληκτικὸν καὶ ἐκ μόνης ὄψεως. Καὶ γοργὼν ζῷόν τι προβάτῳ ὅμοιον ἢ μόσχῳ, ἐν Λιβύῃ γεννώμενον, ὃ καλοῦσιν οἱ ἐκεῖ κατάβλεπτα, ἢ κατώβλεπτον, ὃ τῇ ἀναπνοῇ πάντα τὰ προστυχόντα διαφθείρει, καὶ ἐμβλέπον δέ τινι ἀπόλλυσι τῇ τῶν ὀμμάτων φορᾷ. Ἰστέον δὲ ὅτι τε καὶ πᾶς ἄγριος ἀνὴρ καὶ φοβερὸς λέγοιτο ἂν γοργείη κεφαλή (Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Α', σελ. 442).

**Γορδιανοῦ** βασιλεία (Ζώσιμ. Ἱστ. ἔκδ. Βόνν., σελ. 19.—Ζων. ἔκδ. Βόνν., τόμ. Β', σελ. 579-582).

**Γόρδιος**, ἐπίσκοπος Ἱεροσολύμων (Εὐσέβ. Κ', 541).

*Γόρδιος* μάρτυς. Ὁμιλία Βασιλείου περὶ τοῦ μαρτυρίου αὐτοῦ (ΛΑ', 489). Πατρὶς αὐτοῦ (Αὐτόθ. 493).

**Γόρδος**, πόλις Λυδίας (Σωζόμ. ΞΖ', 820). Γορδείου τεῖχος. Γορδίειον (Στέφ.).

**Γορθαῖος** αἱρεσιάρχης (Εὐσέβ. Κ', 581).

**Γορθηνοί**. Αἵρεσις αὐτῶν (Ἐπιφ. ΜΑ', 236 κ. ἑ.). Κατὰ τί διέφερον τῶν λοιπῶν Σαμαρειτῶν, καὶ ποίας ἑώρταζον ἡμέρας (Αὐτόθ.).

**Γορπιαῖος** μήν, ὁ Σεπτέμβριος (Χρυσόστ. ΜΘ', 358.-Εὐάγρ. ΠϚ', 2709.-Ἀθαν. ΚϚ', 701).

**Γόρτυν** - Γόρτυνος, καὶ Γορτύνη-Γορτύνης, πόλις Κρητική. Ἐκαλεῖτο δὲ καὶ Λάρισσα, εἶτα Κρήμνια, καὶ ὕστερον Γόρτυς (Στέφ. Βυζ. καὶ Λ. Εὐστ.).

**Γοτθία** ἐκκλησία ἢ Γότθων ἐκκλησία. Ἐφρόντιζε περὶ αὐτῆς ὁ Χρυσόστ. (ΝΒ',727).

**Γοτθικὰ** ἔθνη πολλὰ μὲν καὶ ἄλλα πρότερόν τε ἦν, καὶ τὰ νῦν ἐστι, τὰ δὲ δὴ πάντων μέγιστά τε καὶ ἀξιολογώτατα Γότθοι τέ εἰσι καὶ Βανδίλοι καὶ Οὐσίγοτθοι καὶ Γήπεδες, πάλαι μέντοι Σαυρομάται καὶ Μελάγχλαινοι ὠνομάζοντο κ. ἑ. (Προκ. Ἱστ. ἔκδ. Βόνν., τόμ. Α', σελ. 312 κ. ἑ.).

**Γοτθικοὶ** πόλεμοι· αἰτία αὐτῶν· διάρκεια· πῶς ἐγένοντο σύμμαχοι καὶ πότε· Γότθοι βασιλεῖς καὶ περὶ τῆς παιδείας καὶ διδασκαλίας τῶν παίδων αὐτῶν (Προκόπ. Ἱστ. ἔκδ. Βόνν., τόμ. Β', σελ. 6, 13, 14-643). Οἱ ἐπὶ Ἰουστινιανοῦ γοτθικοὶ πόλεμοι διήρκεσαν ἔτη δέκα καὶ ὀκτὼ (Αὐτόθ. 643). Γότθων λεηλασίαι (Ζώσιμ. ἔκδ. Βόνν., σελ. 26-27). Γότθοι Γέται (Ἰωάνν. Λυδ. ἔκδ. Βόνν., σελ. 126).

**Γότθοι**. Ὁ βασιλεὺς αὐτῶν ἐπίσκοπον ζητεῖ πεμφθῆναι (Χρυσόστ. ΝΒ', 618). Τὸ πάλαι τοὺς πατέρας αὐτῶν ἀπέκτεινον (Αὐτόθ. 808). Καθολικοὶ Γότθοι ἐν τῇ Ἐκκλη-

σίᾳ τοῦ ἁγίου Παύλου γοτθιστὶ ἀνεγίνωσκον καὶ ἔψαλλον. Τὰς ἁγίας Γραφὰς εἰς τὴν γλῶσσαν αὐτῶν μετέφρασαν (Χρυσόστ. ΞΓ', 499-510).

*Γότθοι*. Οἱ πέραν τοῦ Ἴστρου βάρβαροι οἱ καλούμενοι Γότθοι καὶ τὰ κατ' αὐτούς (Σωκράτ. Ἐκκλ. Ἱστ. ΞΖ', 552-561).

**Γουάρος** Ἰάκωβος (ΡΝΖ', 29-121).

**Γουβᾶν**, λάκκος (Θεοδώρ. ΠΒ', 1400).

**Γουνεὺς** Ἄραψ, προσηγορίαν ἔχων δίκαιος (Λ. Εὐστ.).

**Γουνὸς** ἀντὶ τοῦ γόνατος· γουνὸς ὁ γόνιμος τόπος καὶ κάρπιμος (Λ. Εὐστ.).

**Γράβδην** ἐπίρρημα παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν (Λ. Εὐστ.).

**Γράβιον**· ὅτι τῶν εἰς φανοὺς πάλαι τεμνομένων ξύλων ἓν εἶναι δοκεῖ καὶ τὸ γράβιον. Ὅρα κατὰ πλάτος Παρεκβ. Εὐστ. εἰς Ὀδ., τόμ. Α', σελ. 263-264, ἔνθα περὶ φανῶν, λαμπάδων, λύχνων κτλ.

**Γραῖα** κοινῶς, γραῦς δὲ Ἀττικῶς.

*Γραῖα* πλουσία σωρός ἐστιν (Ἀνθολ. τόμ. Γ', σελ. 97).

**Γραικοὶ** οἱ Ἕλληνες, οὓς καὶ χωρὶς τοῦ γ Ῥαικοὺς ὀνομάζουσιν οἱ βάρβαροι (Λ. Εὐστ.). Αὐτὸς μὲν (ὁ Ἕλλην) ἀφ' αὑτοῦ τοὺς καλουμένους Γραικούς, προσηγόρευσεν Ἕλληνας (Ἀπολλόδ. βιβλ. Α'). Ἰωάννης Λυδὸς περὶ τῆς λέξεως Γραικός (σελ. 7). Ὑπερορῶντες τὸν Ξάνθιππον ὡς Γραικόν· οὕτω γὰρ καλοῦσι τοὺς Ἕλληνας, καὶ εἰς ὄνειδος δυσμενείας τῷ προσρήματι κατ' αὐτῶν χρῶνται (Ζωναρ. ἔκδ. Βόνν., τόμ. Β', σελ. 149).

**Γράμμα** κτείνει πῶς; πολλὰ γὰρ τῶν θείων Γραφῶν, ἐὰν κατὰ τὸ γράμμα νοήσωμεν, εἰς ἀθέσμους βλασφημίας περιπίπτομεν. Διὰ τοῦτο παραινεῖ πᾶσιν ὁ θεῖος Ἀπόστολος λέγων ὅτι «Τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ» (Β' Κορινθ. γ', 6). Ἕπονται τὰ ἱερὰ χωρία (Ἀθαν. Κ', 640-644). Περὶ γράμματος καὶ πνεύματος (Βασίλ. ΛΑ', 1557). Γράμμα ὁ νόμος, πνεῦμα τὸ Εὐαγγέλιον (Αὐτόθ. 1557-1564. — Ἀθαν. ΚϚ', 1384).

Τὸ γράμμα ὑποχωρεῖ, τὸ πνεῦμα πλεονεκτεῖ, αἱ σκιαὶ παρατρέχουσιν, ἡ ἀλήθεια ἐπεισέρχεται (Γρηγ. Ναζ. ΛϚ', 313).

Ἐπειδὴ τοὺς τὰς θεωρίας ὑποφαίνοντας καὶ τὸ γράμμα εἰς τὸ πνεῦμα μεταρρυθμίζοντας κτλ. (Ἰσίδ. Πηλ. ΟΗ', 521-524).

*Γράμμα* καὶ πνεῦμα τῆς Γραφῆς πῶς συμβιβαστέον; Λύσις (Προκόπ. Γαζ. ΠΖ', 704. — Χρυσόστομος ΞΑ', 438 κ. ἑ.).

*Γράμμα*. Συλλογὴ γραμμάτων εἰς μαντείαν καὶ Οὐάλης αὐτοκράτωρ (Σωζόμ. ΞΖ', 1397 κ.ἑ.). Γράμμα στοιχείου διαφέρει· στοιχεῖον μὲν γάρ ἐστιν ἡ ἐκφώνησις καὶ ὁ φθόγγος, οὐ τὸ γράμμα ἐστὶ σημεῖον ἢ τύπος, ἢ σχῆμα κ. ἑ. Ἀμμώνιος Γραμματικὸς παρὰ Σωζομένῳ (Αὐτόθ. σημ.)

*Γράμμα* στοιχείου διαφέρει. Στοιχεῖον μὲν γάρ ἐστιν ἡ ἐκφώνησις καὶ ὁ φθόγγος, οὐ τὸ γράμμα ἐστὶ στοιχεῖον ἢ τύπος, ἢ σχῆμα. Ἀμμώνιος καὶ Διογένης παρὰ Σωζομένῳ· ἔνθα περὶ Οὐάλεντος (Σωζόμ. ΞΖ', 1317-1318).

*Γράμμα* πεζόν. Πᾶσι τὴν ἄνω τιμῶσι σύγκλητον, εἰς ἣν οὐ τὸ γράμμα εἰσάγει τὸ πεζόν, ἀλλὰ τὸ ζωοποιοῦν πνεῦμα κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 472).

*Γράμμα* ἀφέσεως. Δότε μοι τὸ γράμμα τῆς ἀφέσεως (τὸ ἀπολυτήριον) ὥσπερ τοῖς στρατιωτικοῖς οἱ βασιλεῖς κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 488).

*Γράμμα* περὶ Θεοῦ καὶ τῶν προσόντων αὐτοῦ (Θεοδώρ. Π', 113 κ. ἑ.).

*Γράμμα* πρόχειρον καὶ ἐπιπόλαιον (Αὐτόθ. 189). Γράμματος (συγγράμματος) σκοπόν (Αὐτόθ. ΠΑ', 29). Τῆς ἀποστολικῆς σοφίας ἐπιδεῖξαι τὸ βάθος καὶ τῶν τοῦ γράμματος προκεκαλυμμένων ἀπογυμνῶσαι (Αὐτόθ. ΠΒ', 36).

*Γράμμα*, ἔνδυμα λόγου (Αὐτόθ. ΠΓ', 308).

**Γράμματα** παρὰ τὸ γράφειν, ὅ ἐστι ξέειν, λέγονται. Γράμματα τὰ στοιχεῖα, καὶ γράμματα τὰ συγγράμματα ὁμωνύμως. Ὅθεν πολλὰ γράμματα εἰδέναι λέγεται ὁ πολλὰ συγγράμματα ἀναλεξάμενος. Γράμματα καλοῦνται τὰ τμήματα τῆς Ὁμήρου ποιήσεως. Γράμματα Φοινίκεια λέγονται διὰ τὸ τὸν Κάδμον ἐκ Φοινίκης αὐτὰ κομίσαι (Λ. Εὐστ.).

Τὸ σοφώτατον γράμμα, τὸ μάλα μὲν εὐμενές, μάλα δὲ βραχύ, ἀλλὰ καὶ μάλα λιγύ, ὃ δή τοι ὁ θαυμαστός σοι νοῦς ἀπέτεκε κ. ἑ. (Συνέσ. ΞϚ', 1560).

*Γράμματα*. Τίς εὗρεν αὐτά. Ἕλληνες, ἐπειδὴ πρῶτον μὲν διὰ τὸ ὅτι νεωςὶ αὐτοὶ τῶν γραμμάτων τῆς ἐμπειρίας μέτοχοι γεγόνασι, καὶ αὐτοὶ ὁμολογοῦσι λέγοντες, τὰ γράμματα εὑρῆσθαι, οἱ μὲν παρὰ Χαλδαίων, οἱ δὲ παρ' Αἰγυπτίων, ἄλλοι δ' αὖ ἀπὸ Φοινίκων (Θεόφ. Ἀντιοχ. ϛ', 1165).

*Γράμματα* πρῶτος λέγεται εὑρεῖν Τααῦτος, (Εὐσέβ. ΚΑ', 72). Ἴπιρις εὗρε τρία γράμματα (Αὐτόθ. 84). Οἱ μὲν Φοίνικας ὑπειλήφασιν εὑρεῖν τὰ γράμματα, οἱ δὲ Σύρους (Αὐτόθ. 788). Σημασία τῶν ἑβραϊκῶν γραμμάτων (Αὐτόθ. 361). Οἱ ἐπὶ τὴν Τροίαν στρατεύσαντες ἠγνόουν τὴν φύσιν αὐτῶν (Αὐτόθ. 796).

*Γράμματα*, γραμματική, στοιχεῖα κδ'. Ἑρμηνεία τούτων (Κλήμ. Ἀλεξ. Θ', 581-601).

*Γράμματα* ὑπὸ τῶν Φοινίκων εὑρέθησαν· ὑπὸ Παλαμήδους δὲ κατὰ τάξιν καὶ ἀριθμὸν ἐτάχθησαν (Ἀθαν. ΚΕ', 37).

*Γράμματα* μανθάνειν καὶ ἀναγνώσμασι προσέχειν (Βασίλ. ΛΑ', 1148-1149). Γράμματα σύμβολον μνήμης (Αὐτόθ. ΛΒ', 440 κ. ἑ.). Γραμμάτων (ἐπιστολῶν) βραχυλογία καὶ ἔκτασις (Αὐτόθ. 532).

*Γράμματα* πονηρά. Ἡνίκα ἂν σχολὴν ἄγωμεν ἀπὸ τῆς ἔξωθεν ἰλύος καὶ ταραχῆς, καὶ μὴ τὸ ἡγεμονικὸν ἡμῶν συγχέηται τοῖς μοχθηροῖς τύποις καὶ πλανωμένοις, οἷον γράμμασι πονηροῖς ἀναμιγνύντων κάλλη γραμμάτων, ἢ βορβόρῳ μύρων εὐωδίαν (Γρηγ. Ναζ. Λϛ', 16 κ. ἑ.).

*Γράμματα* μαθεῖν ὁ θέλων ἀπέρχεται καὶ μανθάνει τὰ σημεῖα· καὶ ὅταν ἐκεῖ γένηται πρῶτος, ἀπέρχεται εἰς τὴν σχολὴν τῶν Ῥωμαίων, καὶ ἔστιν ὅλων ἔσχατος. Πάλιν ἐκεῖ ὅταν γένηται πρῶτος, ἀπέρχεται πρὸς τὴν σχολὴν τῶν γραμμάτων καὶ ἔστι πάλιν ἐκεῖ ὅλων ἔσχατος, ἀρχάριος. Εἶτα ὅταν γένηται σχολαστικός, ὅλων τῶν δικολόγων ἀρχάριος καὶ ἔσχατός ἐστιν. Πάλιν ὅταν ἐκεῖ γένηται πρῶτος, τότε γίνεται ἡγεμών· καὶ ὅταν γένηται ἄρχων, λαμβάνει ἑαυτῷ βοηθὸν τὸν συγκάθεδρον. Εἰ οὖν τὰ φαινόμενα τοσαύτας ἔχει προκοπάς, πόσῳ μᾶλλον τὰ ἐπουράνια μυστήρια ἔχει προκοπὰς καὶ βαθμούς; κ. ἑ. (Μακάρ. Αἰγ. ΛΔ', 604).

*Γράμματα* Ἑβραίων διὰ τί εἴκοσι καὶ δύο; Ἑρμηνεία (Ἐπιφ. ΜΓ', 277).

*Γράμματα* καὶ νοῦς. Ἐρομένου τινὸς Ἀμοῦν τὸν Αἰγύπτιον, εἰ ἀναγκαῖα τὰ γράμματα, ἔφη, εἰ ὁ νοῦς ἔρρωται, τίς χρεία γραμμάτων; Τὸ δὲ οὐκ ἐξεῦρεν, ἀλλ' ἔκρινε χρείαν γραμμάτων ἀντὶ τοῦ οὐκ ἐχρήσατο αὐτὸς γράμμασιν, ἀλλ' ἀπεφήνατο, τούτους δεῖσθαι γραμμάτων, οἵτινες οὐ μέγεθος ἠτύχησαν νοῦ, ἵνα τὴν τοῦ νοῦ ἔνδειαν ἐντεῦθεν ἐπανορθῶνται (Ἀμοῦν παρὰ Συνεσ. Ξϛ', 1136 σημ.). Συνέσιος περὶ γραμμάτων καὶ νοῦ (Αὐτόθ.).

*Γράμματα* ἢ ἐπιστολαί. Ἐν τοῖς γράμμασιν ἢ ἐπιστολαῖς κέντρον πειθοῦς ἐστι καὶ πόθος διακαέστερος (Συνέσ. Ξϛ', 1529).

*Γράμματα* καὶ νοῦς. Τῷ δικαίῳ Ἀντωνίῳ προσῆλθέ τις τῶν τότε σοφῶν καὶ πῶς διακαρτερεῖς, εἶπεν, ὦ Πάτερ, τῆς ἐκ τῶν βιβλίων παραμυθίας ἐστερημένος; Τὸ ἐμὸν βιβλίον, ἔφη ὁ Ἀντώνιος, ὦ φιλόσοφε, ἡ φύσις τῶν γεγονότων ἐστί, καὶ πάρεστιν ὅτε βούλομαι τοὺς λόγους ἀναγινώσκειν τοὺς τοῦ Θεοῦ (Ἀντών. παρὰ Σωκρ. Ἐκκλ. Ἱστ. ΞΖ', 515).

*Γράμματα* ἱερά. Οἱ τοῖς ἱεροῖς προσέχοντες γράμμασι πεφωτισμένην ἔχουσι τὴν καρδίαν, ἔργων τε ἀγαθῶν ἐπιστήμονα καὶ ὀρθῇ τῇ πίστει λελαμπρυσμένην (Κύριλλ. Ἀλεξ. ΟΖ', 881 κ. ἑ.).

*Γράμματα* παραινετικὰ καὶ ὠφελείας γέμοντα καὶ πνέοντα (Ἰσίδ. Πηλ. ΟΗ', 1452-1456).

*Γράμματα* πῶς διδασκόμεθα καὶ μανθάνομεν. Τὰ γράμματα ὅταν παιδευώμεθα, πρῶτον μὲν τὰ ὀνόματα αὐτῶν ἐκλαμβάνομεν· ἔπειτα τοὺς τρόπους καὶ τὰς δυνάμεις· εἶθ' οὕτω τὰς συλλαβὰς καὶ τὰ ἐν ταύταις πάθη, καὶ μετὰ τοῦτο ἤδη τὰς λέξεις καὶ τὰ συμβεβηκότα αὐταῖς, ἐκτάσεις τε, λέγω, καὶ συστολάς, καὶ προσῳδίας, καὶ τὰ παραπλήσια τούτοις (Διον. Ἁλικαρν. περὶ συνθέσ. ὀνομ. — Γεώργ. Πισίδ. ϞΒ', 1481).

*Γράμματα* συμβολικὰ εἰς συνεννόησιν ἢ κρυπτογραφία (Θεόδ. Στουδ. ϞΘ', 1060).

*Γράμματα*. Πῶς οἱ Ἀπόστολοι, ἰδιῶται ὄντες, ῥητόρων πάντων κατεφρόνησαν; Εἰ νοῦς μὲν γραμμάτων, νοῦ δὲ ἡ θεία χάρις

πλεονεκτεῖ, μηδὲν θαυμάζῃς, εἰ οἱ Ἀπόστολοι τὸ πλέον καὶ μέγιστον λαβόντες, τῶν ἐπὶ τῷ ἐλαχίστῳ μέγα φρονησάντων κατὰ κράτος περιεγένοντο (Φώτ. ΡΑ', 945).

*Γράμματα* βασιλικὰ ἀναγινώσκοντες ἄνθρωποι ὁλόκληρον ἀνιστῶσι θέατρον (Χρυσόστ. ΝΔ', 617).

*Γράμματα*· Εὔανδρος πρῶτος ἀπὸ τῆς Ἑλλάδος τὰ λεγόμενα Κάδμου εἰς τὴν Ἰταλίαν ἐκόμισεν· οὐ τοσαῦτα μὲν ὅσα νῦν ἐστι· μόνα δὲ ἕξ πρὸς τοῖς δέκα κ. ἑ. (Ἰωάνν. Λυδ. ἔκδ. Βόνν., σελ. 5).

Φοίνικες πρῶτοι τοκογλύφοι καὶ ὀβολοστάται τυγχάνοντες γράμματα καὶ σταθμοὺς καὶ ἁπλῶς τὸ κερδαίνειν ἐπενόησαν. Ὅθεν καὶ καπήλους αὐτοὺς οἱ ποιηταὶ καλοῦσιν (Αὐτόθ. Ἰωάνν. Λυδ.).

*Γράμματα*. Ἰωάννης Καππαδόκης λόγων μὲν τῶν ἐλευθερίων καὶ παιδείας ἀνήκοος ἦν. Οὐ γὰρ ἄλλο οὐδὲν εἰς γραμματισμοῦ φοιτῶν ἔμαθεν, ὅτι μὴ γράμματα, καὶ ταῦτα κακὰ κακῶς γράψαι· φύσεως δὲ ἰσχύϊ πάντων γέγονε δυνατώτατος ὧν ἡμεῖς ἴσμεν· γνῶναί τε γὰρ τὰ δέοντα ἱκανώτατος ἦν, καὶ λύσιν τοῖς ἀπόροις εὑρεῖν. Πονηρότατος κ. ἑ. (Προκόπ. Ἰστ. ἔκδ. Βόνν., τόμ. Α', σελ. 121-123).

**Γραμματεῖον,** πινακίδιον κηρῷ ἀληλιμμένον, ἐφ' οὗ ἔγραφον διά τινος γραφείου ἐκ σκληρᾶς τινος ὕλης (Λ. Εὐστ.).

**Γραμματεῖς** καὶ Φαρισαῖοι. Κατ'ἐπίτασιν οὖν, ὡς ἔοικε, τοῦ κακοῦ καὶ ἀγαθοῦ βίου σώζεται ὁ γνωστικός, πλέον τῶν Γραμματέων καὶ Φαρισαίων, συνιείς τε καὶ ἐνεργῶν κ. ἑ. (Κλήμ. Ἀλεξ. Θ', 340).

*Γραμματεῖς* Ἰουδαίων, οἵτινες νομικοὶ μὲν ἦσαν καὶ δευτερωταὶ παραδόσεων τῶν παρ' αὐτοῖς πρεσβυτέρων, τῇ περιττοτέρᾳ ἐθελοθρησκείᾳ ἔθη φυλάττοντες, ἃ οὐ διὰ τοῦ νόμου μεμαθήκασιν, ἀλλ' ἑαυτοῖς ἐτύπωσαν σεβάσματα δικαιώματος τῆς νομοθεσίας (Ἐπιφ. ΜΑ', 172). Γραμματεῖς τοῦ νόμου καὶ γραμματεῖς τοῦ λαοῦ· αἵρεσις αὐτῶν (Αὐτόθ. 241-253).

Οἱ Γραμματεῖς ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν (Ματθ. κγ', 2). Ἅπας μὲν λόγος χηρεύων πραγμάτων νεκρός ἐστι καὶ μάταιος· μάλιστα δὲ ὁ παρὰ τῶν τῇ εὐαγεστάτῃ ἱερωσύνῃ σεμνυνομένων προφερόμενος κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 1065-1068).

*Γραμματεῖς*, οἱ διδάσκαλοι (Θεοδώρ. ΠΔ', 921. Π', 833).

*Γραμματεὺς* μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν (Ματθ. ιγ', 52) τίς; Γραμματεύς ἐστιν ὁ διὰ τῆς ἐπιμόνου ἀναγνώσεως τῶν Γραφῶν, τῆς τε Παλαιᾶς καὶ τῆς Νέας, θησαυρὸν γνώσεως ἑαυτῷ ἀποθέμενος (Κυρίλλ. Ἀλεξ. ΟΒ', 413-414. —Ἀναστ. Σιν. ΠΘ', 672-684 μετὰ Ἱερῶν Παραλλήλ.).

*Γραμματέων* ἀρρωστήματα ἦσαν τὸ φιλόκομπον καὶ τὸ φιλοκερδές· ἡ ὑποκρισία, ἡ βαττολογία ἐν προσευχαῖς κτλ. (Κύριλλ. αὐτόθ. 893).

*Γραμματέων* καὶ Φαρισαίων ἐχθροπάθεια πρὸς τὸν Χριστόν (Χρυσόστ. ΝΖ', 455-464).

**Γραμματική.** Τὸν Μωϋσῆ πρῶτον σοφὸν γενέσθαι, καὶ γραμματικὴν πρῶτον τοῖς Ἰουδαίοις παραδοῦναι, καὶ παρ' Ἰουδαίων Φοίνικας παραλαβεῖν· Ἕλληνες δὲ παρὰ Φοινίκων (Κλήμ. Ἀλέξ. Η', 900).

*Γραμματικὴ* ξέουσα λόγον καὶ βάρβαρον ἠχὴν Ἑλλάδος εὐγενέος γλώσσης ἐπίκουρος ἀρίστη (Γρηγ. Ναζ. ΛΖ', 1510).

*Γραμματική*. Προθεωρία εἰς τὴν γραμματικήν· καὶ περὶ γραψάντων γραμματικήν. (Παχώμ. μοναχ. ϞΗ', 1364-1368).

*Γραμματικὴ* Αἰγυπτίων καὶ τρόπος διδασκαλίας (Κλήμ. Ἀλεξ. Θ', 40 κ. ἑ.).

*Γραμματικὴ* καὶ μῆνιν ἄειδε, θεά. Λουκίλλ. (Ἑλλην. Ἀνθολ. τόμ. Γ', σελ. 91, 92).

*Γραμματικὴ* καὶ ὄνος. Ἀπολλινάρ. (Ἑλλην. Ἀνθολ. τόμ. Γ', σελ. 91).

**Γραμματισταί.** Οἱ σοφοὶ καὶ φιλόσοφοι, καὶ σεμνοὶ τὴν ὑπήνην καὶ τὸ τριβώνιον, οἱ σοφισταί, καὶ γραμματισταί, καὶ τῶν δημοσίων θηρευταὶ κρότων κ. ἑ. (Γρηγ. Ναζ. ΛϚ', 280).

**Γραμματολογία** Ἑλλαδίου (Φώτ. ΡΔ', 304-325).

**Γραμμάτων** σημασίαι, ἃς εἰς ταῦτα Μάρκος ὁ Γνωστικὸς ἀποδίδει· κάθοδος τῶν τριακονταδύο γραμμάτων ἐκ τῶν οὐρανῶν· γένεσις τῶν αἰώνων. Ἐκ τούτων σύγκειται τὸ τῆς ἀληθείας σῶμα (Εἰρην. Ζ', 600-601). Τίνι τὰ ἄφωνα, τίνι τὰ φωνήεντα, καὶ τίνι

τὰ σύμφωνα ἀνήκουσι κατὰ Μάρκον τὸν Γνωστικόν (Αὐτόθ. 604). Ἐκ τῶν εἰκοσιτεσσάρων γραμμάτων συνέστηκε τὸ πλήρωμα (Εἰρην. αὐτόθ. 613).

**Γραμμή,** παραγωγή, καὶ ἱερὰ γραμμή· καὶ παροιμία «Κινεῖν τὴν ἀφ' ἱερᾶς», καὶ ἑτέρα «Τὸν ἀπὸ γραμμῆς κινεῖν λίθον». Γραμμὴ ἐκ τοῦ γράμμα, ὡς ξύσμα-ξυσμή, οὐ μόνον ἡ ἐν μαθήμασιν, ἀλλὰ καὶ ὁποίαις ἔπαιζον οἱ κυβεύοντες, ὧν μία τις, μέση γραμμή, ὠνομάζετο ἱερά, ἐπειδὴ ὁ ἡττώμενος ἐπ' ἐσχάτην αὐτὴν ἵετο. Ὅθεν καὶ παροιμία «Κινεῖν τὸν ἀφ' ἱερᾶς», ἐπὶ τῶν ἐν ἀπογνώσει δεομένων βοηθείας ἐσχάτης κτλ. (Παρεκβ. Εὐστ. εἰς Ἰλ., τόμ. Β', σελ. 97-98).

**Γρανιανὸς** λαμπρότατος ἀνήρ. Ἀδριανοῦ ὑπὲρ Χριστιανῶν ἐπιστολή (Ἰουστῖνος Ϛ', 432).

**Γραπτοὶ** Θεόδωρος καὶ Θεοφάνης (Μ. Γλυκᾶς ἔκδ. Βόνν., σελ. 538).

**Γράσος,** ἡ τῶν αἰγῶν ὀσμή (Λ. Εὐστ.)· καὶ οὕτω τοῦ μακροῦ γράσου τὰ ἡμῶν ἐκστα ίη κατὰ βραχύ (Συνέσ. ΞϚ', 1560).

**Γρατιανὸς** σὺν τῷ νέῳ Οὐαλεντινιανῷ μετὰ τὸν Οὐάλεντα κοινωνὸν τῆς βασιλείας προσελάβετο Θεοδόσιον (Σωκρ. Ἱστ. ΞΖ', 568. —Σωζόμ. αὐτόθ. 1317, 1417.—Ζώσιμ. σελ. 187 κ. ἑ.).

**Γραῦς.** Περὶ γραὸς διασεισθείσης τὸν ὦμον παρά τινος νεανίσκου καὶ διὰ στίχων ὑβρισάσης αὐτόν. Ἱστορία (Νόνν. ΛϚ', 1017).

**Γραφαὶ θεῖαι.** Περὶ τῶν θείων καὶ ἁγίων Γραφῶν, τῆς θεοπνευστίας αὐτῶν, τῆς ἀναγκαιοτάτης καὶ ὠφελιμωτάτης διδασκαλίας, μελέτης καὶ ἐρεύνης αὐτῶν παντὶ μέν, μάλιστα δὲ εὐσεβεῖ καὶ ὀρθοδόξῳ Χριστιανῷ, ὧν ἄνευ οὐκ ἔστι σωτηρία, οὐδὲ πίστις, οὐδ' ἀγάπη, οὐδ' ἐλπίς, ἱκανὰ μὲν ἀπηνθίσαμεν καὶ κατεχωρίσαμεν ἐν τῷ Α' τόμῳ τοῦ παρόντος *Ταμείου τῆς Πατρολογίας*, ἐν σελ. 202-231.

Ἤδη δὲ καὶ ἐνταῦθά τινα μὲν ἐξ ἐκείνων ἐπαναλαμβάνονται ἢ ὁλόκληρα, ἢ αἱ παραπομπαὶ μόνον, ἄλλα δὲ ὡς συμπλήρωμα προστίθενται.

Ἐρευνᾶτε τὰς γραφάς, ἵνα ζωὴν ἔχητε (Ἰωάνν. ε', 40). Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ· ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος (Β' Τιμ. γ', 16). Διὰ ταῦτα οὖν ἡ ἀνάγνωσις καὶ μελέτη τῶν θείων Γραφῶν τῶν ἀπαραιτήτων ἐστὶ καθηκόντων τοῦ Χριστιανοῦ. Καὶ ὅπως τις μὴ καλῆται μόνον, ἀλλὰ καὶ ἀληθῶς ᾖ Χριστιανός, ὀφείλει μὴ ἀμελεῖν τῶν ἐκ τῆς θείας Γραφῆς ἀφθόνως χορηγουμένων σωτηρίων φαρμάκων (Βλέπ. προλεγόμ. *Κλειδός*, σελ. δ'-ε').

*Γραφαὶ* θεῖαι, ἀληθεῖς ῥήσεις Πνεύματος ἁγίου (Κλήμ. Ῥώμ. Α', 300 κ. ἑ.).

*Γραφαὶ* θεῖαι, ἀληθεῖς καὶ βέβαιαι. Ἀληθῆ ἐστι τὰ γεγραμμένα, κἂν σοι ψευδῆ δοκῇ τὰ περὶ Θεοῦ ῥηθέντα (Κλήμ. Ῥώμ. Α', 108—157).

*Γραφὰς* θείας δεῖ ἀναγινώσκειν (Κλήμ. Ῥώμ. Β', 569-576). Τοῖς ἐναρέτοις καὶ ἀγαθοῖς τῇ προαιρέσει αἱ Γραφαὶ σαφέσταταί εἰσι, μόνοις δὲ τοῖς κακοῖς σκοτειναί (Αὐτόθ. 117, 374). Τὰ χωρία τῶν Γραφῶν, τὰ τῶν Θεὸν ἀτελῆ παριστάντα, ψευδῆ ἐλέγχονται (Αὐτόθ. 140).

Περὶ τῶν θείων γραφῶν Ἰουστῖνος φιλόσοφος καὶ μάρτυς (Ϛ', 492).

*Γραφαὶ* αἱ θεῖαι, πολλῷ ἀρχαιότεραι τῶν ἑλληνικῶν εἰσι συγγραμμάτων (Θεόφ. Ἀντιοχ. Ϛ', 1156—1164).

Εἰ καὶ ἐπὶ τῶν τῆς κτίσεως ἔνια μὲν ἀνάκειται τῷ Θεῷ, ἔνια δὲ καὶ εἰς ἐπίγνωσιν ἐλήλυθε τὴν ἡμετέραν, τί χαλεπόν, εἰ καὶ τῶν ἐν ταῖς Γραφαῖς ζητουμένων, ὅλων τῶν Γραφῶν πνευματικῶν οὐσῶν, ἔνια μὲν ἐπιλύομεν κατὰ χάριν Θεοῦ, ἔνια δὲ ἀνακείσεται τῷ Θεῷ κ. ἑ. (Εἰρην. Ζ', 806).

*Γραφὴ* ἡ ἱερὰ ἀνυψοῖ ἡμᾶς εἰς τὴν γνῶσιν τοῦ Θεοῦ (Διον. Ἀρεοπ. Γ', 120-121). Αὕτη καλεῖται ἔλλαμψις παρὰ τῷ ἁγίῳ Διονυσίῳ. Διὰ τί χρῆται τοῖς συμβόλοις, καὶ μάλιστα εὐτελέσι καὶ ἀνομοίοις (Αὐτόθ. 136-137). Εἴδη μυστικῆς γραφῆς δύο (Αὐτόθ. 153—156). Τί αἱ ἀναγνώσεις δηλοῦσιν (Αὐτ. 428).

*Γραφῆς* βιβλία ποῖα δεῖ ἀναγινώσκειν (Διατ. Ἀποστ. Α', 569).

*Γραφῆς* ἀπόρρητος καὶ συμβολικὴ παράδοσις (Παχυμ. Δ', 481-504.—Μάξιμ. αὐτόθ. 557-573).

## Ἐκ τῶν τοῦ Κλήμεντος Ἀλεξανδρέως.

*Γραφαὶ* θεῖαι, ὅσα χαρακτηρίζουσι τὸν τῶν Χριστιανῶν βίον (Η', 664-681).

*Γραφαὶ* ἱεραὶ διὰ τί Ἑλλήνων φωνῇ ἡρμηνεύθησαν; (Αὐτόθ. 733). Γραφαὶ ἱεραὶ ἀρχαιότεραι καὶ ἀληθέστεραι (Αὐτόθ. 820 κ.ἑ.).

Ὁ πιστεύσας τοίνυν ταῖς Γραφαῖς ταῖς θείαις, τὴν κρίσιν βεβαίαν ἔχων, ἀπόδειξιν ἀναντίρρητον τὴν τοῦ τὰς Γραφὰς δεδωρημένην φωνὴν λαμβάνει Θεοῦ (Αὐτόθ. Η', 941).

*Γραφῶν* μετάφρασις ἐκ τοῦ ἑβραϊκοῦ. Διήγησις καὶ γνῶμαι περὶ τούτου (Αὐτόθ. Η', 889-893).

*Γραφαὶ* θεῖαι σαρκικῶς περὶ Θεοῦ ὁμιλοῦσαι. Ἐνταῦθα πάλιν ἐπιφύονται οἱ κατήγοροι, χαρὰν καὶ λύπην, πάθη ψυχῆς λέγοντες κτλ. Ἡμεῖς δέ, ὡς ἔοικεν, οὐ παυόμεθα τὰ τοιαῦτα σαρκικῶς νοοῦντες τὰς Γραφάς, καὶ ἀπὸ τῶν ἡμετέρων παθῶν ἀναγόμενοι, τὸ βούλημα τοῦ ἀπαθοῦς Θεοῦ ὁμοίως τοῖς ἡμετέροις κινήμασιν ἀπεκδεχόμενοι. Ὡς δὲ ἡμεῖς ἀκοῦσαι δυνατοί, οὕτως ἔχειν ἐπὶ τοῦ Παντοκράτορος ὑπολαμβάνοντες, ἀθέως πλανώμεθα. Οὐ γὰρ ὡς ἔχει τὸ θεῖον, οὕτως οἷόν τε ἦν λέγεσθαι· ἀλλ' ὡς οἷόν τε ἦν ἐπαΐειν ἡμᾶς σαρκὶ πεπεδημένους, οὕτως ἐλάλησαν ἡμῖν οἱ Προφῆται, συμπεριφερομένου σωτηρίως τῇ τῶν ἀνθρώπων ἀσθενείᾳ τοῦ Κυρίου. Ἐπεὶ τοίνυν βούλημά ἐστι τοῦ Θεοῦ σώζεσθαι τὸν ταῖς ἐντολαῖς πειθήνιον τόν τε ἐκ τῶν ἁμαρτημάτων μετανοοῦντα, χαίρομεν δὲ ἡμεῖς ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν κ. ἑ. (Αὐτόθ. 1012).

Οἱ τὰς Γραφὰς διαστρέφοντες κατὰ τὸ δοκοῦν. Οὗτοί εἰσιν οἱ κατὰ τὴν ἀνάγνωσιν φωνῆς τόνῳ διαστρέφοντες τὰς Γραφὰς πρὸς τὰς ἰδίας ἡδονάς, καί τινων προσῳδιῶν καὶ στιγμῶν μεταθέσει τὰ παραγγελθέντα σωφρόνως τε καὶ συμφερόντως βιαζόμενοι πρὸς ἡδυπαθείας τὰς ἑαυτῶν (Αὐτόθ. 1144,1129—1160).

*Γραφαὶ* ἐναντιούμεναι τοῖς κατὰ τὰς αἱρέσεις σοφισταῖς. Ἑκάστη δὲ τῶν αἱρέσεων τὴν οἰκείως ἐνισταμένην Γραφὴν ὁ συνιὼν ἐπιλεγόμενος κατὰ καιρόν, χρήσεται πρὸς κατάλυσιν τῶν παρὰ τὰς ἐντολὰς δογματιζόντων κ. ἑ. (Αὐτόθ. 1172).

Πολλαὶ δὲ ἡμᾶς αἱ πρὸς τοὺς ἑτεροδόξους ἀντιρρήσεις ἐκδέχονται πειρωμένους τά τε ὑπ' αὐτῶν προκομιζόμενα ἐγγράφως διαλύεσθαι, πείθειν τε αὐτοὺς καὶ ἄκοντας, δι' αὐτῶν ἐλέγχοντας τῶν Γραφῶν κ. ἑ. (Αὐτόθ. 1216). Γραφάς, αἷς πεπιστεύκαμεν, κυρίας οὔσας ἐξ αὐθεντίας παντοκρατορικῆς ἐπιδείξαντας, προϊέναι δι' αὐτῶν εἱρμῷ δύνασθαι, καὶ ἁπάσαις ἐντεῦθεν ταῖς αἱρέσεσιν ἕνα δεικνύναι Θεόν, καὶ Κύριον Παντοκράτορα, τὸν διὰ νόμου καὶ Προφητῶν, πρὸς δὲ καὶ τοῦ μακαρίου Εὐαγγελίου γνησίως κεκηρυγμένον (Αὐτόθ. 1216).

Ὅσα γὰρ ἡ Γραφὴ λέγει, εἰς τὴν ἡμετέραν διδασκαλίαν ἐγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν Γραφῶν τὴν ἐλπίδα ἔχωμεν τῆς παρακλήσεως (Ῥωμ. ε', 4) κ. ἑ. (Αὐτόθ. 1233 κ. ἑ.).

*Γραφαὶ* μόναι αἱ συνετίζουσαι. Κἂν λέγῃ τις κατὰ σύνεσιν ἀνθρώπων φιλοσοφίαν εἰρῆσθαι πρὸς Ἑλλήνων, ἀλλὰ τὰς Γραφὰς εὑρίσκω τὴν σύνεσιν θεόπεμπτον εἶναι λεγούσας. Δοῦλος σός εἰμι ἐγώ· συνέτισόν με, (Ψαλμ. ριη') (Αὐτόθ. Θ', 285).

*Γραφαὶ* θεῖαι διὰ τί οὐ τοῖς πᾶσιν εὐκόλως καταληπταί; Διὰ πολλὰς τοίνυν αἰτίας ἐπικρύπτονται τὸν νοῦν αἱ Γραφαί· πρῶτον μέν, ἵνα ζητητικοὶ ὑπάρχωμεν, καὶ προσαγρυπνῶμεν ἀεὶ τῇ τῶν σωτηρίων λόγων εὑρέσει. Ἔπειτα μηδὲ τοῖς ἅπασι προσῆκον ἦν νοεῖν ὡς μὴ βλαβεῖεν ἑτέρως ἐκδεξάμενοι τὰ ὑπὸ τοῦ ἁγίου Πνεύματος σωτηρίως εἰρημένα. Διὸ δὴ τοῖς ἐκλεκτοῖς τῶν ἀνθρώπων, τοῖς τε ἐκ πίστεως εἰς γνῶσιν ἐγκρίτοις τηρούμενα τὰ ἅγια τῶν Προφητῶν μυστήρια, ταῖς παραβολαῖς ἐγκαλύπτεται· παραβολικὸς γὰρ ὁ χαρακτὴρ ὑπάρχει τῶν Γραφῶν. Ἔνθα περὶ παραβολῆς (Αὐτόθ. Θ', 349).

Τρόποι θείων Γραφῶν. Ἔστι γοῦν ὁ τρόπος λέξις παραγεγραμμένη ἀπὸ τοῦ Κυρίου ἐπὶ τὸ μὴ κύριον, κατασκευῆς ἕνεκα καὶ φράσεως, τῆς ἐν λόγῳ εὐχρηστίας χάριν. Ἡ προφητεία δὲ οὐδόλως τοὺς περὶ τὰς λέξεις σχηματισμοὺς ἐπιτηδεύει διὰ τὸ κάλλος τῆς φράσεως, τῷ δὲ μὴ πάντων εἶναι τὴν ἀλήθειαν, ἐπικρύπτεται πολυτρόπως, μόνοις δὲ τοῖς εἰς γνῶσιν μεμυημένοις, τοῖς δι' ἀγάπης ζητοῦσι τὴν ἀλήθειαν, τὸ φῶς ἀνατέλλουσα.

Λέγεται δ' οὖν εἶδος τῆς προφητείας ἡ παροιμία, κατὰ τὴν βάρβαρον φιλοσοφίαν· λέγεταί τε καὶ παραβολή· τό τε αἴνιγμα ἐπὶ τούτοις. Ἀλλὰ μὴν καὶ σοφία λέγεται κτλ. (Αὐτόθ. Θ', 353 κ. ἑ.).

Ἡ θεία Γραφὴ πρόδηλος τοῖς πᾶσι, πῶς. Ὁ Ἑρμᾶς ἐν τῇ ὁράσει ἐδήλου τὴν μὲν Γραφὴν πρόδηλον εἶναι πᾶσι, κατὰ τὴν ψιλὴν ἀνάγνωσιν ἐκλαμβανομένην, καὶ ταύτην εἶναι τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων κ. ἑ. (Αὐτόθ. Θ', 356 κ. ἑ.).

*Γραφὴ* θεία πρὶν ἄγραφος. Ἀλλὰ καὶ Ἡσαΐας βιβλίον καινὸν κελεύεται λαβὼν ἐγγράψαι τινά (Ἡσ. η', 1), τὴν γνῶσιν τὴν ἁγίαν διὰ τῆς τῶν Γραφῶν ἐξηγήσεως ὕστερον ἔσεσθαι προφητεύοντος τοῦ Πνεύματος, τὴν ἔτι κατ' ἐκεῖνον τὸν καιρὸν ἄγραφον τυγχάνουσαν, διὰ τὸ μηδέπω γινώσκεσθαι. Εἴρηται γὰρ ἀπ' ἀρχῆς μόνοις τοῖς νοοῦσιν (Αὐτόθ. Θ', 356).

*Γραφῶν* σῶμα. Ἐπεὶ οἱ μὲν τὸ σῶμα τῶν Γραφῶν τὰς λέξεις καὶ τὰ ὀνόματα, καθάπερ τὸ σῶμα τοῦ Μωϋσέως, προσβλέπουσιν· οἱ δὲ τὰς διανοίας καὶ τὰ ὑπὲρ τὰ ὀνόματα δηλούμενα διορῶσι, τὸν μετὰ ἀγγέλων Μωϋσέα πολυπραγμονοῦντες (Αὐτόθ. 356-357).

*Γραφαὶ* Κυριακαί. Κἂν ἑτεροῖά τισι τῶν πολλῶν καταφαίνηται τὰ ὑφ' ἡμῶν λεγόμενα τῶν Κυριακῶν Γραφῶν, ἰστέον ὅτι ἐκεῖθεν ἀναπνεῖ τε καὶ ζῇ, καὶ τὰς ἀφορμὰς ἔχοντα (τὸν Χριστιανόν), τὸν νοῦν μόνον, οὐ τὴν λέξιν παριστᾶν ἐπαγγέλλεται κ. ἑ. (Αὐτόθ. Η', 404).

Ἀλλ', ὡς ἔοικε, τοῖς πολλοῖς καὶ μέχρι νῦν δοκεῖ ἡ Μαριὰμ λεχὼ εἶναι διὰ τὴν τοῦ παιδίου γέννησιν, οὐκ οὖσα λεχώ· καὶ γὰρ μετὰ τὸ τεκεῖν αὐτὴν μαιωθεῖσαν, φασί τινες παρθένον εὑρεθῆναι. Τοιαῦται δ' ἡμῖν αἱ Κυριακαὶ Γραφαὶ τὴν ἀλήθειαν ἀποτίκτουσαι, καὶ μένουσι παρθένοι, καὶ μένουσαι παρθένοι μετὰ τῆς ἐπικρύψεως τῶν τῆς ἀληθείας μυστηρίων. Τέτοκε καὶ οὐ τέτοκε, φησὶν ἡ Γραφή, ὡς ἂν ἐξ αὐτῆς, οὐκ ἐκ συνδυασμοῦ συλλαβοῦσα κ. ἑ. Πάντων δὲ ἀνθρώπων τὴν αὐτὴν κρίσιν ἐχόντων, οἱ μὲν ἀκολουθοῦντες τῷ αἱροῦντι Λόγῳ ποιοῦνται τὰς πίστεις. Οἱ δέ, ἡδοναῖς σφᾶς αὐτοὺς ἐκδεδωκότες, βιάζονται πρὸς τὰς ἐπιθυμίας τὴν Γραφήν (Αὐτόθ. Θ', 528-532).

*Γραφαῖς* θείαις πείθεσθαι.

Οἱ τοιοῦτοι δὲ ἅτε ἀποπεσόντες τῆς ὀρθῆς ὁδοῦ, καὶ τοῖς πλείστοις τῶν κατὰ μέρος σφάλλονται. Εἰκότως, διὰ τὸ μὴ ἔχειν ἀληθῶν καὶ ψευδῶν κριτήριον συγγεγυμνασμένον ἀκριβῶς τὰ δέοντα αἱρεῖσθαι. Εἰ γὰρ ἐκέκτηντο ταῖς θείαις ἐπείθοντο ἂν Γραφαῖς κ. ἑ. (Αὐτόθ. Θ', 552).

*Γραφαὶ* αἱ θεῖαι ἀρχή, βάσις καὶ ἀπόδειξις τῆς ἀληθείας. Ἀμέλει πρὸς τὴν τῶν πραγμάτων εὕρεσιν αὐτῇ χρώμεθα κριτηρίῳ· τὸ κρινόμενον δὲ πᾶν ἔτι ἄπιστον πρὶν κριθῆναι· ὥστε οὐδ' ἀρχὴ τὸ κρίσεως δεόμενον. Εἰκότως τοίνυν πίστει περιλαβόντες ἀναπόδεικτον τὴν ἀρχήν, ἐκ περιουσίας καὶ τὰς ἀποδείξεις παρ' αὐτῆς τῆς ἀρχῆς λαβόντες, φωνῇ Κυρίου παιδευόμεθα πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας (Αὐτόθ. Θ', 532).

*Γραφῶν* θείων ἀναγνῶσται καὶ ἑρμηνευταί. Οὐ γὰρ ἁπλῶς ἀποφαινομένοις ἀνθρώποις προσέχοιμεν, οἷς καὶ ἀνταποφαίνεσθαι ἐπίσης ἔξεστιν. Εἰ δ' οὐκ ἀρκεῖ μόνον ἁπλῶς εἰπεῖν τὸ δόξαν, ἀλλὰ πιστώσασθαι δεῖ τὸ λεχθέν, οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένομεν μαρτυρίαν, ἀλλὰ τῇ τοῦ Κυρίου φωνῇ πιστούμεθα τὸ ζητούμενον, ἢ πασῶν ἀποδείξεων ἐχεγγυωτέρα, μᾶλλον δὲ ἡ μόνη ἀπόδεις οὖσα τυγχάνει· καθ' ἣν ἐπιστήμην οἱ μὲν ἀπογευσάμενοι μόνον τῶν Γραφῶν πιστοί. Οἱ δὲ καὶ προσωτέρω χωρήσαντες, ἀκριβεῖς γνώμονες τῆς ἀληθείας ὑπάρχουσιν, οἱ Γνωστικοί. Ἐπεὶ κἂν τοῖς κατὰ τὸν βίον ἔχουσί τι πλέον οἱ τεχνῖται τῶν ἰδιωτῶν, καὶ παρὰ τὰς κοινὰς ἐννοίας ἐκτυποῦσι τὸ βέλτιον· οὕτως οὖν καὶ ἡμεῖς ἀπ' αὐτῶν περὶ αὐτῶν τῶν Γραφῶν τελείως ἀποδεικνύντες, ἐκ πίστεως πειθόμεθα ἀποδεικτικῶς κ. ἑ. (Αὐτόθ. Θ', 332-333).

*Γραφῶν* ἡ ἀλήθεια οὐκ ἐν τῷ μετατιθέναι τὰ σημαινόμενα εὑρίσκεται (οὕτω μὲν γὰρ ἀνατρέψουσι πᾶσαν ἀληθῆ διδασκαλίαν)· ἀλλ' ἐν τῷ διασκέψασθαι τί τῷ Κυρίῳ καὶ τῷ Παντοκράτορι Θεῷ τελείως οἰκεῖόν τε καὶ πρέπον, κἂν τῷ βεβαιοῦν ἕκαστον τῶν ἀποδεικνυμένων κατὰ τὰς Γραφάς, ἐξ αὐτῶν πάλιν τῶν ὁμοίων Γραφῶν (Αὐτόθ. Θ', 333 κ.ἑ.).

Δεῖ τοίνυν τὰς Γραφὰς ἀκριβῶς διερευνωμένους, ἐπειδὴ ἐν παραβολαῖς εἰρῆσθαι ἀνω-

μολόγηνται, ἀπὸ τῶν ὀνομάτων θηρωμένους τὰς δόξας, ἃς τὸ ἅγιον Πνεῦμα περὶ τῶν πραγμάτων ἔχον, εἰς τὰς λέξεις κ. ἑ. (Αὐτόθ. 713, 716).

*Γραφῆς* σύνεσις. Καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν, εἰ μεγαλοφρόνως τῆς Γραφῆς συνίετε κ. ἑ. (Αὐτόθ. Θ', 545).

***Γραφῶν*** ζήτησις καὶ ἔρευνα, ἄνευ ἔριδος (Αὐτόθ. Θ', 557-601).

*Γραφὴ* θεία. Τῷ Χριστιανῷ τροφὴ καὶ ποτὸν γενέσθω τεταγμένον ἡ Καινὴ Διαθήκη τοῦ Κυρίου· γυμνάσια δὲ αἱ ἐντολαί, εὐσχημοσύνη δὲ καὶ κόσμος αἱ καλαὶ διαθέσεις, ἀγάπη, πίστις, ἐλπίς, γνῶσις ἀληθείας, ἐπιείκεια, πραότης, εὐσπλαγχνία, σεμνότης, ἵνα κ. ἑ. (Αὐτόθ. Θ', 608).

## Ἐκ τῶν τοῦ Ὠριγένους.

Περὶ τοῦ θεοπνεύστου τῆς θείας Γραφῆς, καὶ πῶς ταύτην ἀναγνωστέον καὶ νοητέον. Τίς τε ὁ τῆς ἐν αὐτῇ ἀσαφείας λόγος, καὶ τοῦ κατὰ ῥητὸν ἔν τισιν ἀδυνάτου ἢ ἀλόγου (ΙΑ', 341).

*Γραφῆς* θείας τὴν θεοπνευστίαν ὁμολογοῦσιν Ἰουδαῖοι καὶ Χριστιανοί. Περὶ δὲ τῆς ἑρμηνείας αὐτῆς διαφωνοῦσιν (ΙΑ', 1276 κ. ἑ.). Τριπλῆ αὐτῆς ἡ ἔννοια· ἡ κατὰ γράμμα, ἡ κατὰ ἀλληγορίαν καὶ ἡ μυστική (Αὐτόθ. 364). Πολλοὺς εἰς αἱρέσεις καὶ κακοδοξίας ἡ κατὰ γράμμα ἑρμηνεία ἤγαγεν (Αὐτόθ.).

*Γραφὴ* ἡ θεία παραβάλλεται διὰ τὴν ἐν αὐτῇ ἀσάφειαν πολλοῖς οἴκοις ἐν μιᾷ οἰκίᾳ κεκλεισμένοις, παράκειται δὲ ἑκάστῳ κλεὶς ἡ κατάλληλος αὐτῷ κ. ἑ. (ΙΒ', 1089 κ. ἑ.). Ἑβραϊκὰ ὀνόματα τῶν εἴκοσι καὶ δύο βίβλων τῆς Παλαιᾶς Διαθήκης (Αὐτόθ. 1084). Διὰ τί εἴκοσι καὶ δύο τὰ θεόπνευστα βιβλία (Αὐτόθ. ΙΔ', 184-188).

Ἐάν ποτε ἀναγινώσκων τὰς Γραφὰς προσκόψῃς νοήματι ὄντι καλῷ, λίθῳ δὲ προσκόμματος καὶ πέτρᾳ σκανδάλου, αἰτιῶ σαυτὸν κ. ἑ. (ΙΓ', 541-544).

Ἐν ταῖς θείαις Γραφαῖς οὐδὲν περιττόν (Αὐτόθ. ΙΓ', 546). Βοτανολόγου χρεία (Αὐτόθ.). Αἱ Γραφαί εἰσιν ὁ ἐν τῷ ἀγρῷ θησαυρός (Αὐτόθ. ΙΓ', 844). Γραφῶν τροπολογίαι (Αὐτόθ. ΙΓ', 1593). Γραφῆς τὸ θεόπνευστον (Αὐτόθ. ΙΔ', 1309). Ὅτι ἡ θεία Γραφὴ κέκλεισται καὶ ἐσφράγισται (Αὐτόθ. ΙΒ', 421, 1076-1081). Ὅτι ἓν ὄργανον Θεοῦ τέλειον καὶ ἡρμοσμένον ἡ θεία Γραφή (Αὐτόθ. ΙΓ', 832). Περὶ τοῦ ἰδιώματος τῶν προσώπων τῆς θείας Γραφῆς (Αὐτόθ. ΙΓ', 35. ΙΔ', 829-832).

Περὶ τοῦ μὴ δεῖν τὰ σολοικοειδῆ καὶ μὴ σώζοντα τὴν κατὰ τὸ ῥητὸν ἀκολουθίαν ῥητὰ τῆς Γραφῆς ἐπιχειρεῖν διορθοῦσθαι, πολὺ τοῖς συνιέναι δυναμένοις τὸ τῆς διανοίας ἀκόλουθον σώζοντα (Αὐτόθ. ΙΓ', 825-828. ΙΔ', 1076-1078).

Ὅτι χρὴ πάσης τῆς θεοπνεύστου Γραφῆς τὸ τρόφιμον διώκειν, καὶ τὰ ὑπὸ τῶν αἱρετικῶν ταρασσόμενα ῥητὰ δυσφήμοις ἐπαπορήσεσι μὴ ἀποτρέπεσθαι, μηδὲ ὑπερηφανεῖν, ἀλλὰ καὶ αὐτῶν μεταλαμβάνειν, τῆς ἐν ἀπιστίᾳ ταραχῆς ἐκτός (Αὐτόθ. ΙΓ', 664—665).

Περὶ τοῦ μὴ ἐκκακεῖν ἐν τῇ ἀναγνώσει τῆς θείας Γραφῆς τὸν μὴ συνιέντα τὸ σκοτεινὸν τῶν ἐν αὐτῇ αἰνιγμάτων καὶ παραβολῶν (Αὐτόθ. ΙΒ', 917-922).

Πότε καὶ τίσι τὰ ἀπὸ φιλοσοφίας μαθήματα χρήσιμα εἰς τὴν τῶν ἱερῶν Γραφῶν διήγησιν μετὰ γραφικῆς μαρτυρίας (Αὐτόθ. ΙΑ', 88).

Ὅτι τοῖς θέλουσι μὴ σφάλλεσθαι περὶ τὴν ἀλήθειαν ἐν τῷ νοεῖν τὰς θείας ἀναγκαιότατόν ἐστι τὰ ἁρμόζοντα εἰς τὴν χρῆσιν εἰδέναι λογικὰ μαθήματα, ἤτοι προπαιδεύματα, ὧν ἄνευ ἀκρίβειαν σημαινομένων οὐ δύναται ὃν δεῖ τρόπον παρίστασθαι (Αὐτόθ. ΙΒ', 88-89).

Πρὸς τοὺς Ἑλλήνων φιλοσόφους τὸ εὐτελὲς τῆς τῶν θείων Γραφῶν φράσεως διασύροντας, καὶ τὰ ἐν Χριστιανισμῷ καλὰ βέλτιον παρ' Ἕλλησιν εἰρῆσθαι φάσκοντας· καὶ προσέτι δυσειδὲς τὸ τοῦ Κυρίου σῶμα λέγοντας· καὶ τίς ὁ λόγος τῶν διαφόρων τοῦ λόγου μορφῶν (Αὐτόθ. ΙΑ', 1288-1289). Ἕκτον τοῦτο.—Ἀλλ' ἐν δυνάμει Θεοῦ. Ἔστι γάρ τις οἰκεία ἀπόδειξις τοῦ λόγου θειοτέρα παρὰ τὴν διαλεκτικὴν τὴν ἑλληνικήν· ἣν ὁ Ἀπόστολος ὀνομάζει ἀπόδειξιν Πνεύματος καὶ δυνάμεως. Πνεύματος μὲν διὰ τὰς προ-

φητείας ἱκανὰς πιστοποιῆσαι τὸν ἐντυγχάνοντα, μάλιστα εἰς τὰ περὶ Χριστοῦ· δυνάμεως δὲ διὰ τὰς τεραστίας δυνάμεις, ἃς κατασκευαστέον γεγονέναι, καὶ ἐκ πολλῶν μὲν ἄλλων, καὶ ἐκ τοῦ ἴχνη αὐτῶν ἔτι σώζεσθαι παρὰ τοῖς κατὰ βούλημα. τοῦ Λόγου βιοῦσιν. Ἔτι δὲ καὶ τοῦτό φησιν ὁ θεῖος Λόγος (Αὐτόθ. ΙΑ', 656, 1289, 1504. ΙΔ', 1312).

Πρὸς τὸν δυσειδὲς τὸ σῶμα τοῦ Κυρίου λέγοντα Κέλσον (Αὐτόθ. ΙΑ', 1409-1416 καὶ 656).

*Γραφῶν* κείμενον ἡμαρτῆσθαι ἐν τοῖς ἑλληνικοῖς ἀντιγράφοις τὰ περὶ τῶν ὀνομάτων πολλαχοῦ (Αὐτόθ. ΙΔ', 269 κ. ἑ.).

Ὥσπερ δὲ πάντα τὰ τοῦ Θεοῦ δωρήματα κ. ἑ. Περὶ τῆς θείας Γραφῆς (Φιλοκαλία ΙΔ', 1307 κ. ἑ.).

Ὅσῳ τις ἐγγίζει τῷ Ἰησοῦ κ. ἑ. (Αὐτόθ. ΙΖ', 293 σχόλ.).

Ἐάν ποτε ἀναγινώσκων κ. ἑ. (Αὐτόθ. ΙΓ', 541 κ. ἑ.).

Τί οὖν ἐστιν ὃ καὶ ἐν τούτοις αἰνίσσεται; φέρε κ. ἑ. (Αὐτόθ. ΙΓ', 664 κ. ἑ.).

Σὺ οὖν προηγουμένως πρόσεχε τῇ τῶν θείων Γραφῶν ἀναγνώσει, ἀλλὰ πρόσεχε κ. ἑ. (Αὐτόθ. ΙΑ', 92).

Ἐγὼ δὲ εἴποιμι ἄν, ὅτι ὥσπερ αἱ κρίσεις τοῦ Θεοῦ κ. ἑ. (Αὐτόθ. ΙΒ', 1453 κ. ἑ.).

Ὁ Θεός, ὁ δεδωκὼς τὸν νόμον, δέδωκε καὶ τὸ Εὐαγγέλιον κ. ἑ. (Αὐτόθ. ΙΒ', 421).

Κεκλεῖσθαι καὶ ἐσφραγίσθαι τὰς θείας Γραφὰς κ. ἑ. (ΙΒ', 1077-1080).

Εἰ δέ, τὰ λόγια Κυρίου λόγια ἁγνὰ κ. ἑ. (Αὐτόθ. ΙΒ', 1081).

Ἡγοῦμαι γοῦν καὶ τὸν Ἀπόστολον κ. ἑ. (Αὐτόθ. ΙΒ', 1081).

Χρὴ μέν τοι γε τὸν ἅπαξ παραδεξάμενον κ. ἑ. (Αὐτόθ. ΙΒ', 1081).

Ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ περιεχούσῃ ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων κ. ἑ. (Αὐτόθ. ΙΓ', 1476 κ. ἑ.).

Καλὸν καὶ λόγοις ἐνασχολεῖσθαι πνευματικοῖς κ. ἑ. (Αὐτόθ. ΙΒ', 1084).

Οὐδὲν σκολιὸν ἐν τοῖς θείοις λογίοις κ. ἑ. (Αὐτόθ. ΙΓ', 832).

Διδασκαλία περὶ ἀναγνώσεως τῶν θείων Γραφῶν κτλ. (Αὐτόθ. ΙΓ', 36, 825 κ. ἑ. ΙΔ', 184-196, 1076-1078, 1309-1316. ΙΓ', 844-845, 1408 κ. ἑ. Ιϛ', 3017-3468). Περὶ τῶν ἀνωτέρω βλέπ. κατὰ πλάτος ἐν σελ. 203-204 τοῦ μετὰ χεῖρας *Ταμείου*.

## Ἐκ τῶν Γρηγορίου τοῦ Θαυματουργοῦ.

Ὥσπερ οὐχ ἡμῶν ἐστι τὸ γνῶναι χρόνους καὶ καιροὺς κ. ἑ. (Ι', 1136 κ. ἑ.).

*Γραφαὶ* θεῖαι ὑπὸ τῶν αἱρετικῶν νοθευθεῖσαι (Γάϊος πρεσβ. Ι', 29). Περὶ τῶν θείων Γραφῶν (Διονύσ. Ἀλεξ. Ι', 1240).

## Ἐκ τῶν τοῦ Εὐσεβίου Παμφίλου.

Περὶ τῆς ἑρμηνείας τῶν παρ' Ἰουδαίοις Γραφῶν. Τεμάχιον ἐκ τῶν Ἀρισταίου (ΚΑ', 588). Πρὸ τῆς μεταφράσεως τῶν Ο' ὑπῆρχεν ἑρμηνεία αὐτῆς (ΚΑ', 596 καὶ 693) πρὸ τοῦ Μ. Ἀλεξάνδρου καὶ Δημητρίου τοῦ Φαληρέως· ἑρμηνεία αὐτῆς ὑπῆρχε κατὰ Ἀριστόβουλον (Αὐτόθ. ΚΑ', 1097). Ἁγνὴ καὶ σεμνὴ καλεῖται ὑπὸ Ἑκαταίου τοῦ Ἀβδίτου (Αὐτόθ. ΚΑ', 589). Πολλὴν ἀλληγορίαν περιέχει (Αὐτόθ. 523,625) ὑπὸ ποίαν ἔννοιαν μέλη τῷ Θεῷ ἀποδίδωσιν (Αὐτόθ. 656). Ἀνεγνώσθη ὑπὸ Νουμᾶ βασιλέως Ῥωμαίων, Πυθαγόρου καὶ Νουμηνίου (Αὐτόθ. 693).

*Γραφαὶ* θεῖαι ὁμολογούμεναι (Αὐτόθ. Κ', 268). Καὶ Γραφαὶ μὴ τοιαῦται (Αὐτόθ.).

*Γραφικὰ* δόγματα, καὶ τὰ φιλόσοφα διαπτυόντων (Κ', 1257). Γραφαὶ ἐνδιάθηκοι (Αὐτόθ. 580). Γραφῶν διαστροφὴ ὑπὸ Μαρκέλλου (Αὐτόθ. ΚΔ', 969).

## Ἐκ τῶν τοῦ Ἀθανασίου Ἀλεξανδρείας.

*Γραφῶν* θείων κανών (Κϛ', 1176).

*Γραφαὶ* θεῖαι κανονικαὶ καὶ γνήσιαι (Κϛ', 1436). Γραφαὶ ἀναγινωσκόμεναι (Αὐτόθ. 1437). Γραφῶν θείων κεφαλαιώδης περίληψις τῶν διηγουμένων (Αὐτόθ. ΚΖ', 12 κ. ἑ.). Γραφῶν Παλαιᾶς καὶ Νέας σύνοψις (Αὐτόθ.

ΚΗ', 284, 432). Γραφῶν παραδόσεις ποῖαι καὶ πόσαι (Αὐτόθ. ΚΗ', 433). Γραφῶν ἑρμηνεῖαι ἐκ τοῦ ἑβραϊκοῦ εἰς τὸ ἑλληνικόν· καὶ τίνες οἱ ταύτην ἑρμηνεύσαντες καὶ πότε (Αὐτόθ. ΚΗ', 433).

Περὶ τῶν μὴ δεχομένων τὰς θείας Γραφὰς καὶ ἀπιστούντων τῷ Εὐαγγελίῳ (Αὐτόθ. ΚΗ', 681 κ. ἑ.). Γραφῶν ἀξιοπιστία. Πρὸς τοὺς κελεύοντας μὴ δεῖν ἀπὸ τῶν Γραφῶν ζητεῖν ἢ λαλεῖν, ἀρνουμένους τῇ παρ' αὐτῆς πίστει (Αὐτόθ. ΚΗ', 1341).

Ἡ ἁγία Γραφὴ διδάσκει ἡμᾶς καὶ διηγεῖται καὶ τὰς τῶν ἀρχαίων πράξεις (Αὐτόθ. ΚΗ', 1565). Γραφῶν θείων ἀνάγνωσις καὶ τοῖς ἑστῶσι καὶ τοῖς πεσοῦσι, καὶ πᾶσιν ἁπλῶς ὠφέλιμός ἐστιν, ἑκάστῳ χρησμῳδοῦσα (Ἰσίδ. Πηλ. ΟΗ', 725).

*Γραφῶν* θείων κατάληψις. Ἀλλὰ πρὸς τὴν ἐκ τῶν Γραφῶν ἔρευναν καὶ γνῶσιν ἀληθῆ, χρεία βίου καλοῦ καὶ ψυχῆς καθαρᾶς, καὶ τῆς κατὰ Χριστὸν ἀρετῆς κ. ἑ. (Ἀθαν. ΚΕ', 198). Ἡ Γραφή, γινώσκουσα τὴν φύσιν ἑκάστου, περὶ μὲν τῶν κτιζομένων διὰ Μωϋσέως φησίν· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν»· περὶ δὲ τοῦ Υἱοῦ· «Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε» κ. ἑ. (Ἀθαν. ΚΕ', 415).

***Γραφὴ*** ἡ θεία πᾶσα πλήρης μαρτυριῶν κατὰ Ἰουδαίων ἐστίν (Αὐτόθ. ΚΕ', 152). Θεόπνευστος καλεῖται (Αὐτόθ.). Ἱκανωτέρα ἐστὶ πάντων εἰς τὸ στηρίξαι πίστιν (Αὐτόθ. 515). Ὁ ἀρνούμενος αὐτὴν ἐχθρός ἐστι Χριστοῦ (Αὐτόθ. ΚΕ', 549). Μὴ μόνον τὸ γράμμα θεωρεῖν (Αὐτόθ. 445). Τὰ ἐν αὐτῇ ἀσαφῆ μὴ ἀπορρίπτειν (Αὐτόθ. ΚϚ', 764). Τίνα τὰ βιβλία αὐτῆς (Αὐτόθ. 1177).

Ποῖα τὰ ἀντιλεγόμενα καὶ ποῖα τὰ ἀπόκρυφα τῆς τε Παλαιᾶς καὶ Καινῆς Διαθήκης βιβλία (Αὐτόθ. ΚΗ', 432). Τίνα ἐστὶ τὰ μνημονευόμενα βιβλία ὡς ὄντα, μὴ εὑρισκόμενα δέ (Αὐτόθ.).

Οὔτε γὰρ ἄλλως κατορθοῦται ἀρετὴ καὶ ἀποχὴ κακῶν, εἰμὴ διὰ μελέτης τῶν θείων Γραφῶν (Αὐτόθ. ΚΖ', 603).

Εἶτα γηίνων μὲν ἕνεκα πραγμάτων κ. ἑ. Περὶ τῶν θείων Γραφῶν (Αὐτόθ. ΚΗ', 1341 κ. ἑ.).

Τὸ μὲν οὖν μηδὲν εἶναι τῶν πολλῶν τὴν ἄκριτον συμφωνίαν κ. ἑ. Περὶ τῶν θείων Γραφῶν (Αὐτόθ. ΚΗ', 1341-1345).

Πᾶσα Γραφὴ ἡμῶν τῶν Χριστιανῶν θεόπνευστός ἐστιν· οὐκ ἀόριστα δέ, ἀλλὰ μᾶλλον ὡρισμένα καὶ κεκανονισμένα ἔχει τὰ βιβλία (Αὐτόθ. ΚΗ', 284).

Ἡ δὲ καθολικὴ Ἐκκλησία αὕτη, ὀρθῶς ἀναγνοῦσα καὶ ἀκριβῶς ἐρευνήσασα τὰς Γραφάς, ἐπῳκοδόμησεν ἑαυτὴν ἐπὶ τὴν πέτραν κ. ἑ. (Αὐτόθ. ΚΗ', 524). Πᾶσα Γραφὴ θεόπνευστος κ. ἑ. (Αὐτόθ. ΚΗ', 1563). Ἰουδαῖοι μὲν ἀπιστοῦντες ἔχουσι κ. ἑ. (Αὐτόθ. 152-153, 196).

Ἡμῶν δὲ ἡ πίστις ἐστὶν ὀρθή, καὶ ἐκ διδασκαλίας Ἀποστόλων ὁρμωμένη καὶ παραδόσεως τῶν Πατέρων βεβεβαιωμένη ἔκ τε τῆς Νέας καὶ Παλαιᾶς Διαθήκης (Αὐτόθ. ΚϚ', 1080). Ἴδωμεν δ' ὅμως καὶ πρὸς τούτοις καὶ αὐτὴν τὴν ἐξ ἀρχῆς παράδοσιν, καὶ διδασκαλίαν, καὶ πίστιν τῆς καθολικῆς Ἐκκλησίας κ. ἑ. (Αὐτόθ. ΚϚ', 593).

Καθαροὺς οὖν ἑαυτοὺς μᾶλλον ἀπὸ τούτων φυλάττετε, καὶ τηρεῖτε τήν τε τῶν Πατέρων παράδοσιν· καὶ προηγουμένως τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν, ἣν ἐκ τῶν Γραφῶν μὲν μεμαθήκατε, παρ' ἐμοῦ δὲ πολλάκις ὑπεμνήσθη (Αὐτόθ. ΚϚ', 968).

Ἔδει πάντας ἀνθρώπους τῶν καλῶν μὴ ἀμυήτους ὑπάρχειν κ. ἑ. (Αὐτόθ. ΚΗ', 1488).

***Γραφὴ*** πᾶσα θεόπνευστος (Αὐτόθ. ΚΖ', 12). Ἑκάστη μὲν βίβλος τῆς θείας Γραφῆς τὸ ἴδιον ἐπάγγελμα διακονεῖ καὶ ἀπαγγέλλει· ἡ δέ γε τῶν Ψαλμῶν παράδεισος (Αὐτόθ. ΚΖ'). Γραφῶν ἀμελήσω; Πόθεν ἡ γνῶσις; Γραφὴ τροφὴ ψυχῆς. Ἐκ τῶν ἁγίων Γραφῶν ἡ τῶν ἀδήλων φανέρωσις, ἡ τῶν ἐλπίδων βεβαίωσις. Καταλείψω γνῶσιν; Πόθεν ἡ πίστις; Ἐκ τῶν ἁγίων Γραφῶν ἡ τῶν ὑποσχέσεων ἔκβασις, ἡ τοῦ Σωτῆρος εὕρεσις (Αὐτόθ. ΚΗ', 1344). Ἐκ τῆς αὐθεντίας τῶν θείων Γραφῶν δεῖ φέρειν τὰς μαρτυρίας. Ἀλλ' ἔστι τινὰ τὴν ἡμετέραν κατάληψιν ὑπερβαίνοντα· φημὶ κἀγώ. Καὶ τοῦτο οὖν ἀπὸ τῶν Γραφῶν διδαχθῶμεν, ὡς εἰδέναι τίνα μὲν ζητητέον, ὡς ἐφικτά· οὔτε γὰρ τὸ πάντων κατατολμᾶν εὐσεβές, οὔτε τὸ πάντων καταμελεῖν εὐαγές. Τί οὖν προσκυνοῦμεν; εἰδέναι πάντες ὀφείλομεν κατὰ τὸ γεγραμμένον· «Ἡμεῖς προσκυ-

νοῦμεν ὅ οἴδαμεν». Τὸ δὲ ἡλίκον, ἢ οἷον, ἢ πῶς, ἢ ποῦ, μαινομένων ζητεῖν κ. ἑ. (Αὐτόθ. ΚΗ΄, 1344).

## Ἐκ τῶν τοῦ Βασιλείου τοῦ Μεγάλου.

Ἡ Γραφὴ συνεγράφη ὑπὸ τοῦ Πνεύματος, ἵνα, ὥσπερ ἐν κοινῷ τῶν ψυχῶν ἰατρείῳ, πάντες ἄνθρωποι τὸ ἴαμα τοῦ οἰκείου πάθους ἕκαστος ἐκλεγώμεθα (ΚΘ΄, 209). Ἐν τοῖς λόγοις, τοῖς ὑπὸ τῆς Θεότητος ἐμπνευσθεῖσιν, οὐδεμία λέξις ἀργή (Αὐτόθ. ΚΘ΄, 144). Πανταχοῦ τῆς Γραφῆς ἐνέσπαρται μυστικῷ τῷ τρόπῳ θεολογικὰ δόγματα (Αὐτόθ. ΚΘ΄, 120). Τὸ βιβλίον τῆς Γενέσεως ἀπὸ τῶν σαρκικῶν παθῶν δύναται τὸν ἄνθρωπον ἐλευθερῶσαι (Αὐτόθ. ΚΘ΄, 5). Ὁ Μ. Βασίλειος οὐ παραδέχεται τὴν ἀλληγορίαν καὶ τροπολογίαν ἐν τῇ Γραφῇ (Αὐτόθ. ΚΘ΄, 188). Πολλοὶ τῶν μεταφραστῶν τῆς Παλαιᾶς Διαθήκης πλεῖστα ὀνόματα μεταφράσαι οὐκ ἐτόλμησαν, ὡς Ἀδωναΐ, Σαβαὼθ κτλ. (Αὐτόθ. 585). Ὅ,τι ἡ τῶν Γραφῶν χρῆσις οὐ παραδέδωκε τούτων κατατολμᾶν τῆς ἐσχάτης ἐστὶν ἀπονοίας (Αὐτόθ. 585). Ἔθος ἐστὶ τῇ Γραφῇ τοὺς κακοὺς υἱοὺς ἔκ τινος καλεῖν ἁμαρτίας, τοὺς δ' ἀγαθοὺς ἔκ τινος ἀρετῆς (Αὐτόθ. ΚΘ΄, 229). Οὐχ ἅπασι τὰ τοῦ Θεοῦ ἐγράφησαν λόγια, ἀλλὰ τοῖς ἔχουσιν ὦτα κατὰ τὸν ἔσω ἄνθρωπον (Αὐτόθ. 389). Ἔθος τῇ Γραφῇ ἐκφέρειν προστακτικῶς ὅσα εὐχόμεθα γενέσθαι, ὡς τό· «Γενηθήτω τὸ θέλημά σου» (Αὐτόθ. 401). Τὰ θεῖα λόγια μετὰ φόβου ἀκούειν καὶ μετ' εὐσεβείας δέχεσθαι (Αὐτόθ. 736). Ὅσα τοὺς ὀρθοὺς τὴν πίστιν ὠφελοῦσι, ταῦτα τοῖς ἄλλοις βλάπτει (Αὐτόθ. 752).

Οἱ τῆς θεοπνεύστου Γραφῆς λόγοι στήσονται ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ (Αὐτόθ. Λ΄, 81). Ὁ ἡμέτερος νοῦς ἄλλως ἑαυτὸν οὐ βλέπει, εἰ μὴ ἐγκύψῃ ταῖς Γραφαῖς, ὥσπερ κατόπτρῳ (Αὐτόθ. Λ΄, 12). Πῶς ταύτην ἑρμηνεύειν ὀφείλομεν μετὰ ὠφελείας, καὶ ὅτι τὴν ἀσάφειαν αὐτῆς ἐπ' ὠφελείᾳ τοῦ νοῦ, διεγείρων αὐτοῦ τὴν ἐνέργειαν ὁ Θεὸς ἐπετήδευσεν (Αὐτόθ. Λ΄, 128). Χρεία πρὸς τῇ καθαρότητι τοῦ βίου καὶ τῆς ἐν ταῖς Γραφαῖς διατριβῆς, ἵνα τὸ σεμνοπρεπὲς καὶ μυστικὸν τῶν θείων λογίων ἐκ τῆς συνεχοῦς μελέτης ἐντυπωθῇ τῇ ψυχῇ (Αὐτόθ. Λ΄, 128). Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, τὰ διδάγματα τῶν Γραφῶν διὰ τῶν Ἀποστόλων καὶ Προφητῶν (Αὐτόθ. 209).

Ἰδιαιτέρᾳ σπουδῇ ἐγκύπτειν Γραφαῖς θείαις (Αὐτόθ. ΛΑ΄, 472). Εἰς τὴν μέλλουσαν ζωὴν φέρουσιν (Αὐτόθ. 565). Τίς ἡ ἐν τοῖς λόγοις τῆς ἁγίας Γραφῆς σύνεσις (Αὐτόθ. 1280). Πολλάκις ἴδιον τῆς Γραφῆς τὴν προφητείαν διὰ προστακτικοῦ ἐκφέρειν λόγου (Αὐτόθ. 500). Χρῆσις τῆς Γραφῆς (Αὐτόθ. 744). Εἰς ἑκάστου χρείαν ἐπαρκεῖ (Αὐτόθ. 1236). Ὅσα ἐν τῇ Γραφῇ ἀμφίβολα καὶ σκοτεινὰ δοκοῦσιν εἶναι, ταῦτα ἐκ παραβολῶν καὶ μαρτυριῶν ἄλλων χωρίων σαφηνίζειν (Αὐτόθ. 1264). Ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις πᾶσι μὲν Χριστιανοῖς παραγγέλλεται, ἰδίᾳ δὲ μοναχοῖς (Αὐτόθ. ΛΒ΄, 649).

*Γραφῶν* ἀλήθειαι (ΚΘ΄, 28-29). Ὅτι δεῖ πᾶν ῥῆμα ἢ πρᾶγμα πιστοῦσθαι τῇ μαρτυρίᾳ τῆς θεοπνεύστου Γραφῆς εἰς πληροφορίαν μὲν τῶν ἀγαθῶν, ἐντροπὴν δὲ τῶν πονηρῶν (ΛΑ΄, 744).

Τὰ ὑπὸ τῆς Γραφῆς συγκεχωρημένα οὐ δεῖ κατακρίνειν (ΛΑ΄, 780).

Ὅσα κατὰ συνάφειαν ἀπαγορεύονται ὑπὸ τῆς Γραφῆς, καὶ ἀπόφασιν δέχεται ἀπειλῆς (ΛΑ΄, 808).

Ἄνευ τῆς μαρτυρίας τῶν θεοπνεύστων Γραφῶν οὐκ ἔξεστιν οὐδὲ συμφέρει τινὶ ἐπιτρέπειν καὶ ποιεῖν καὶ λέγειν ἃ νομίζει καλά (ΛΑ΄, 1080).

*Γραφαὶ* θεῖαι. Ἀπὸ ποίας Γραφῆς ἂν ὑμῖν καιρίως διαλεχθείην; Πάντα ὁμότιμα, καὶ πάντα πνευματικά· πάντα θεόπνευστα, καὶ πάντα ὠφέλιμα (ΛΑ΄, 1500).

Ἀναγκαῖον δὲ εἶναι λογίζομαι ἑκάστου ῥητοῦ τὴν δύναμιν διὰ τῆς πίστεως συνιέναι τε καὶ κατανοῆσαι (ΛΑ΄, 1536).

Περὶ ἑρμηνείας καὶ κατανοήσεως τῶν ὀνομάτων καὶ τῶν ῥημάτων τῆς θεοπνεύστου Γραφῆς (ΛΑ΄, 1536).

*Γραφῆς* ῥητὰ σημασίαν ἔχοντα ἀλληγορικήν (ΛΑ΄, 1600).

*Γραφῆς* θείας συλλαβαί. Ὅτι ἀπαραίτητος τῇ Γραφῇ τῶν συλλαβῶν ἡ χρῆσις· ὅτι

ἐκ τῆς ἔξωθεν σοφίας ἡ περὶ συλλαβῶν τεχνολογία (ΛΒ', 76-77).

*Γραφῆς* ἀσάφεια, εἶδος σιωπῆς μυστηριώδους (ΛΒ', 189 κ. ἑ.).

Μεγίστη δὲ ὁδὸς πρὸς τὴν τοῦ καθήκοντος εὕρεσιν καὶ ἡ μελέτη τῶν θεοπνεύστων Γραφῶν (ΛΒ', 228).

*Γραφὴ* καὶ στίξις. Οἱ λόγοι τὴν φύσιν ὑπόπτερον ἔχουσιν. Διὰ τοῦτο σημείων χρῄζουσιν, ἵνα, ἱπταμένων αὐτῶν, λάβῃ τὸ τάχος ὁ γράφων. Σὺ δέ, ὦ παῖ, τὰ χαράγματα τέλεια ποίει, καὶ τοὺς τόπους ἀκολούθως κατάστιζε. Ἐν γὰρ μικρᾷ πλάνῃ πολὺς ἡμάρτηται λόγος· τῇ δὲ ἐπιμελείᾳ τοῦ γράφοντος κατορθοῦται τὸ λεγόμενον (ΛΒ', 1077).

*Γραφὴ* λοξή, κλιμακηδόν (ΛΒ', 1077).

*Γραφικαὶ* ἀναγνώσεις διάφοροι εἰς τὴν Ἑξαήμερον (Λ', 1132) εἰς τὰ περὶ πλάσεως ἀνθρώπου καὶ παραδείσου ὁμοίως (Αὐτόθ. Λ', 1148).

Ὁ φιλάνθρωπος Θεὸς κ. ἑ. Περὶ τῶν θείων Γραφῶν (ΛΑ', 1080 κ. ἑ.).

Ταῦτά μοι εἴρηται πρὸς ἀπόδειξιν κ. ἑ. (ΚΘ', 144).

Οὐκοῦν ἡ θεόπνευστος ἡμῖν διαιτησάτω Γραφὴ κ. ἑ. (ΛΒ', 688).

Ἀλλὰ μὴ χωρίσῃς Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον· δυσωπείτω σε ἡ παράδοσις κ. ἑ. (ΛΑ', 612. ΛΒ', 108—112). Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων κ. ἑ. (ΛΒ', 188, 217). Βλέπ. καὶ ἐν λ. «Ἀνάγνωσις Γραφῶν» ἐν τόμ. Α' τοῦ ἀνὰ χεῖρας *Ταμείου*.

*Γραφαὶ* θεῖαι καὶ περὶ τῶν Ο' Ἑρμηνευτῶν (Κύριλλ. Ἱεροσολ. ΛΓ', 497 κ. ἑ.). Τίνα τὰ γνήσια αὐτῆς βιβλία κτλ. (Αὐτόθ.).

Ὥσπερ ἐπιστολὰς ὁ βασιλεὺς Θεὸς ἔδωκεν ἡμῖν τὰς Γραφάς (Μακάρ. Αἰγύπτ. ΛΔ', 761). Τί οὖν ἡ Γραφὴ παραγγέλλει τῷ ἀνθρώπῳ ποιεῖν; (Αὐτόθ. 756).

## Ἐκ τῶν τοῦ Γρηγορίου τοῦ Θεολόγου.

Περὶ τοῦ θεοπνεύστου τῶν ἁγίων Γραφῶν, καὶ περὶ ἀναγνώσεως καὶ μελέτης αὐτῶν. Ἐμνήσθην ἡμερῶν ἀρχαίων κ. ἑ. (ΛΕ', 504). Οὐδὲ γὰρ τοὺς Εὐαγγελιστὰς φαίημεν ἂν ὑπεναντία ποιεῖν ἀλλήλοις κ. ἑ. (ΛϚ', 589).

Ἐπὰν δὲ τὸν νοῦν μετρίως προγυμνάσῃς, ὡς ἐν παλαίστρᾳ, ποικίλοις συγγράμμασιν, αὐταῖς ἐνάθλει ταῖς θεοπνεύστοις Γραφαῖς (Αὐτόθ. ΛΖ', στίχ. 1589).

Πρὸ τῆς τῶν Γραφῶν ἀναγνώσεως ἐπίκλησις.

Κλῦθι, Πάτερ Χριστοῦ παντεπίσκοπε, τῶνδε λιτάων ἡμετέρων· μολπὴν δὲ χαρίζεο τῷ θεράποντι θεσπεσίην. Ζαθέων γὰρ εἰς ἀτραπὸν ἴχνος ἐλαύνων κ. ἑ. (ΛΖ', 517).

Θείοις ἐν λογίοισιν ἀεὶ γλώσσῃ τε νόῳ τε στρωφᾶσ'· ὃ γὰρ ἔδωκε Θεὸς καμάτων τόδ' ἄεθλον (ΛΖ', 572).

Γενοῦ σεαυτοῦ καὶ τῶν βίβλων, αἷς καθωμίλησας, ἐν αἷς πολλοὶ μὲν βίοι, πολλοὶ δὲ τρόποι (ΛΖ', 273).

Ἆρα γραφὴν ἀποίσεις καθ' ἡμῶν, ὡς παραχαραττόντων τι τῆς Γραφῆς καὶ τῆς ἀληθείας; Ἡ πᾶσιν εὔδηλον, ὅτι πολλὰ τῶν χρονικῶς λεγομένων ἐνηλλαγμένως τοῖς χρόνοις προφέρεται, καὶ μάλιστα παρὰ τῇ συνηθείᾳ τῆς θείας Γραφῆς κ. ἑ. (ΛϚ', 80). Πολλὰ γὰρ ἡ Γραφὴ προσωποποιεῖν οἶδε καὶ τῶν ἀψύχων (Αὐτόθ. 105).

*Γραφαῖς* θείαις ἑπόμενοι καὶ τὰ ἐγκείμενα σκῶλα τοῖς τυφλώττουσι λύοντες (Αὐτόθ. ΛϚ', 480). Γραφῆς προσκόμματα λύειν καὶ διαρθροῦν οὐ τοῦ παρόντος καιροῦ, σπουδῆς τελεωτέρας καὶ μείζονος ἢ κατὰ τὴν παροῦσαν ὁρμὴν τῆς ὑποθέσεως (Αὐτόθ. ΛϚ', 480).

*Γραφῆς* θεοπνεύστου βίβλοι (ΛΖ', 594. ΛΗ', 443).

Καλὸν καὶ λόγοις ἐνασχολεῖσθαι πνευματικοῖς, καὶ διανοίᾳ καὶ γλώσσῃ τούτοις ἐπιτρυφᾶν, καὶ τῷ νόμῳ Κυρίου διὰ παντὸς ἐμμελετᾶν κ. ἑ. (Αὐτόθ. ΛΗ', 844). Ἡ τῶν θείων Γραφῶν ἀκριβεστάτη διήγησις (Αὐτόθ. 853).

Περὶ τῶν γνησίων τῆς θεοπνεύστου Γραφῆς (Αὐτόθ. ΛΖ', 472). Ἐπίκλησις (Αὐτόθ. 517). Οἱ ἐθνικοὶ συγγραφεῖς πολλὰ ἐφωτίσθησαν ἐξ αὐτῆς (Αὐτόθ. 1569).

Φυλάσσοντες τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν Πατέρων εἰλήφαμεν κ. ἑ. (ΛΖ', 273).

Περὶ τοῦ θεοπνεύστου τῶν ἁγίων Γραφῶν καὶ τῆς ἀναγνώσεως αὐτῶν (ΛϚ', 589). Βλέπ.

καὶ «Ἀνάγνωσιν Γραφῶν» ἐν τῷ Α΄ τόμῳ τοῦ *Ταμείου τῆς Πατρολογίας*.

Οὐδὲν ἀμφίβολον ἢ ἐναντίον ἐν τῇ θείᾳ Γραφῇ. Τοῦ γὰρ Πατρός εἰσιν ὅροι· τοῦ Θεοῦ Λόγου δὲ νόμοι, καὶ τοῦ ἁγίου Πνεύματος λόγοι (Ἀστέρ. Ἀμασ. Μ΄, 465).

Ἡ μὲν γὰρ Ἐκκλησία, καίπερ καθ' ὅλης τῆς οἰκουμένης ἕως περάτων τῆς γῆς διεσπαρμένη παρὰ δὲ τῶν Ἀποστόλων καὶ τῶν ἐκείνων μαθητῶν παραλαβοῦσα κ. ἑ. (Ἐπιφ. ΜΑ΄, 533).

Καὶ ὅροι γὰρ ἐτέθησαν ἡμῖν, καὶ θεμέλιοι, καὶ οἰκοδομὴ τῆς πίστεως, καὶ Ἀποστόλων παραδόσεις, καὶ Γραφαὶ ἅγιαι, καὶ διαδοχαὶ διδασκαλίας, καὶ ἐκ πανταχόθεν ἡ ἀλήθεια τοῦ Θεοῦ ἠσφάλισται, καὶ μηδεὶς ἀπατάσθω καινοῖς μύθοις (Ἐπιφ. ΜΑ΄, 977).

Δεῖ δὲ καὶ παραδόσεσι χρῆσθαι. Οὐ γὰρ πάντα ἀπὸ τῆς θείας Γραφῆς δύναται λαμβάνεσθαι κ. ἑ. (Ἐπιφ. ΜΔ΄, 1048).

Εἶτα δὲ περὶ τούτου αὖθις ἐπιλήψομαι, ὅτι ἀναγκαίως ἡ Ἐκκλησία τοῦτο ἐπιτελεῖ, παράδοσιν λαβοῦσα παρὰ Πατέρων κ. ἑ. (Ἐπιφ. ΜΒ΄, 516).

Τὰ μὲν πολυειδῆ καὶ πολύκροτα καὶ πολυσχιδῆ τῶν σκολιῶν βουλευμάτων τῶν ἐναντίων διαλαβόντες προπετῆ διδάγματα κ. ἑ. (Ἐπιφ. ΜΒ΄, 773).

## Ἐκ τῶν τοῦ Γρηγορίου Νύσσης.

Ἀργὸν ῥῆμα ἐν τῇ Γραφῇ λέγειν, βλασφημία δεινή (Γρηγ. Νύσσ. ΜΔ΄, 272 κ. ἑ.).

Ἡ Γραφὴ πλατύνει τὸ ὄνομα κατὰ τὴν πληθυντικὴν σημασίαν ἐν τῷ λέγειν· «Ἄνθρωποι κατὰ τοῦ μείζονος ὀμνύουσι»· καί, «Υἱοὶ ἀνθρώπων», τῇ συνηθείᾳ τῆς ἐπικρατούσης διαλέκτου κεχρημένη κ. ἑ. (Αὐτόθ. ΜΕ΄, 132 κ. ἑ.).

Τοῦτο δ' ἂν εἴη τὰ νόμιμά τε καὶ τὰ ἤθη τῆς Ἐκκλησίας, οἷς τρέφεται ἡ ψυχὴ καὶ ἁδρύνεται κ. ἑ. (Αὐτόθ. ΜΔ΄, 329).

Τὴν δὲ ἐκ τῆς ἀρχαιοτέρας Γραφῆς, ἐκ νόμου τε καὶ προφητείας κ.ἑ.(Αὐτόθ. ΜΕ΄,468).

Ἀντὶ γὰρ ἰσχάδος ἢ ἀμυγδάλης ἢ τῶν τοιούτων τινός, τὸ κενόδοξον καὶ φιλότιμον, καὶ τὸ φιλοκερδὲς καὶ φιλήδονον, καὶ ὅσα ἄλλα τοιαῦτα κ. ἑ. (Αὐτόθ. ΜϚ΄, 241).

Ἧττον δ' ἂν ἦν κακόν, εἰ μὴ νοοῦντες οἴκοθεν καὶ παρ' ἑαυτῶν τὸ συμφέρον κ. ἑ. (Αὐτόθ. ΜϚ΄, 308).

Τί τὸ πιστεύειν ἀφέντες τεχνολογοῦμεν τὴν πίστιν, καὶ πληροῦμεν τὴν ἐπιθυμίαν τοῦ κοινοῦ δυσμενοῦς κ. ἑ. (Αὐτόθ. ΜϚ΄, 1109).

Ἐκεῖνα μὲν κεκρατήσθω, καὶ μόνης τῆς θεοπνεύστου Διαθήκης τὰ δευτερεῖα φερέσθω κ. ἑ. (Αὐτόθ. ΜΔ΄, 68).

Ἀρκεῖ γὰρ εἰς ἀπόδειξιν τοῦ ἡμετέρου λόγου τὸ ἔχειν πατρόθεν ἤκουσαν τὴν παράδοσιν κ. ἑ. (Αὐτόθ. ΜΕ΄, 573).

Βλέπ. καὶ «Ἀνάγνωσιν» ἐν τῷ Α΄ τόμῳ.

## Ἐκ τῶν τοῦ Χρυσοστόμου.

Βλέπε καὶ ἐν τῷ Α΄ τόμῳ «Ἀνάγνωσιν Γραφῶν».

Μήτε τῇ θείᾳ Γραφῇ καὶ τοῖς Πατράσιν ἑπόμενοι, ἀλλὰ δίκην ὕδατος χειμερίου τῇ φρενίτιδι τῆς ἑαυτῶν προλήψεως ὑποσυρόμενοι εἰς τοσαύτην ἁμαρτίαν ἐκπεπτώκαμεν (ΜΗ΄, 945).

Θεωρῶν γὰρ ἄνδρας μήτε λογισμὸν πεπαιδευμένον ἐκ τῆς θείας Γραφῆς ἐπισταμένους, καὶ τὰ πολλὰ ἐρυθριῶν σιωπῶ, μεμηνότας καὶ ἐρεσχελοῦντας, μὴ εἰδότας μήτε ἃ λέγουσι, μήτε περὶ τίνων διαβεβαιοῦνται, αὐτὸ τοῦτο δογματίζειν ἀμαθῶς μόνον τολμῶντας, καὶ ἀναθεματίζειν, μήτε, ἅπερ οὐκ ἴσασιν, ὡς γελᾶσθαι τὰ ἡμέτερα παρὰ τῶν τῆς πίστεως ἀλλοτρίων· μήτε πολιτείας φροντίζοντας ἀγαθῆς, μήτε ἀγαθοεργεῖν μεμαθηκότας (ΜΗ΄, 947).

*Γραφῶν* ἀναγνώσει προσέχειν καὶ ἐνδιατρίβειν. Ψυχρὰ τὰ ῥήματα τοῖς προφασιζομένοις (ΜΗ΄, 991).

Ἄμπελος, τρυγηθεῖσα καθάπαξ, ἕστηκε γυμνὴ τοῦ καρποῦ, φύλλα ἔχουσα μόνον· ἡ δὲ ἄμπελος ἡ πνευματικὴ τῶν θείων Γραφῶν οὐχ οὕτως κ. ἑ. (ΜΗ΄, 1006).

***Γραφῶν*** οὐκ ἀκούων, οὐδὲ τῶν νεκρῶν ἀνισταμένων ἀκούσεται (Αὐτόθ. ΜΗ΄, 1009).

***Γραφὴ*** θεία παράκλησίς ἐστι τοῖς προσέχουσιν (Αὐτόθ. ΜΘ΄, 92).

***Γραφαὶ*** αἱ ἅγιαι διὰ τί μετὰ χρόνον πολὺν ἐδόθησαν (Αὐτόθ. ΜΘ΄, 103).

Οὐχ ἡ Γραφὴ αἰτία, ἀλλ' ἡ ἀγνωμοσύνη καὶ τὸ παραγράφειν τὰς Γραφὰς κ. ἑ. (Αὐτόθ. Ν', 703).

Ἔστι γὰρ ἰδεῖν μυστικῶς ἐν ταῖς θείαις Γραφαῖς τὰ περὶ Χριστοῦ· οὐδὲν γὰρ ἄγραφον κεῖται οὔτε ἐν τῇ Καινῇ, οὔτε ἐν τῇ Παλαιᾷ· ἀλλὰ προέλαβε τὴν Καινὴν ἡ Παλαιά, καὶ ἑρμηνεύει τὴν Παλαιὰν ἡ Καινή (Αὐτόθ. Ν', 795).

*Γραφῶν* θείων ἐπιγραφὰς οὐ δεῖ παρατρέχειν (Αὐτόθ. ΝΑ', 67). Ἀλλὰ ἐξετάσαι τίς ὁ γράψας τὸ βιβλίον, ἢ πότε ἔγραψε καὶ περὶ τίνων ἔγραψε, καὶ τίνος ἕνεκα τῇ ἑορτῇ ταύτῃ νενομοθέτηται αὐτὸ ἀναγινώσκεσθαι κ. ἑ. (Αὐτόθ. 71). Εὗρεν ὁ Παῦλος ἐν Ἀθήναις ἐπιγραφὴν «Ἀγνώστῳ Θεῷ», καὶ οὐ παρέδραμεν (Αὐτόθ. 74). Γραφῶν ἀνάγνωσις πνευματικὸς λειμών, καὶ παράδεισος τρυφῆς. Χρήσιμος ἡ αὐτῶν ἀνάγνωσις (Αὐτόθ. ΝΑ', 87).

*Γραφῶν* θείων ἡ ἀνάγνωσις τροφὴ τοῦ πνευματικοῦ πολέμου (ΝΕ', 457). Οὐ δεῖ χρόνον, οὐδὲ στοιχεῖον ἐκ τῶν θείων Γραφῶν παρατρέχειν (ΝϚ', 107). Ἡ διήγησις αὐτῶν πέπλος ἐστὶ χρυσός, ὁ στήμων χρυσός, ἡ κρόκη χρυσός (ΝϚ', 136). Γραφῶν θείων κειμένοις μὴ μετὰ ἀκριβείας προσέχειν, μέγα τὸ κακόν (ΝΓ', 44).

Οὐδὲν περιττὸν ἐν ταῖς θείαις Γραφαῖς (Ξ', 667). Ὑπέρτεραι τῶν ἀγγέλων εἰσί (ΞΑ', 624). Ὠφέλεια ἐκ τῆς ἀναγνώσεως αὐτῶν (ΝΘ', 553). Γραφῶν διδασκαλίαι πολλαί· μία δὲ χάρις ἡ πᾶσιν ἐπιλάμπουσα, καὶ μία πηγὴ διδασκαλίας τὸ Πνεῦμα τῆς ἀληθείας κ. ἑ. (ΝΘ', 599). Οἱ ἀθετοῦντες τὰς Γραφὰς τίνες (ΝΘ', 621). Ὅταν αἱ Γραφαὶ παιδεύωσιν ἡμᾶς περὶ Θεοῦ, οὐδέποτε ἁρμόζοντα τῇ θείᾳ δυνάμει φθέγγονται ῥήματα, ἀλλὰ πρέποντα τῇ ἡμετέρᾳ ἀσθενείᾳ (ΝΘ', 693). Ἀνάγνωσις αὐτῶν πάνυ ὠφέλιμος (Ξ', 154).

Ὅτι ἀπὸ τῶν ἐν τύπῳ γενομένων δυνάμεθα ταῖς Γραφαῖς ἀκολουθοῦντες μὴ ἀπιστεῖν (ΞΒ', 331). Περὶ τῶν προφασιζομένων ὅτι ἀγνοοῦσιν, ἢ οὐκ ἐννοοῦσι τὰς Γραφὰς (ΞΒ', 485). Ὁ γάρ τοι τὰς Γραφὰς εἰδώς, ὡς εἰδέναι χρή, οὐδενὶ τῶν γινομένων σκανδαλίζεται, ἀλλὰ πάντα φέρει γενναίως κ. ἑ. (ΞΒ', 647). Καὶ γὰρ τὰ πρακτέα ὑποτίθενται αἱ Γραφαί, καὶ τὰ μὴ πρακτέα (Αὐτόθ. 648). Γραφὴ πᾶσα θεόπνευστος (Αὐτόθ. 649). Ἐκ τῆς ἐμπειρίας τῶν Γραφῶν καὶ τῆς ἀκροάσεως ἡ διάκρισις τῶν ἐθνικῶν καὶ τῶν αἱρετικῶν (ΞΓ', 73).

*Γραφὰς* ἁγίας εἰ οὐ νοεῖς, βάδισον πρὸς τὸν σοφώτερον· ἐλθὲ πρὸς τὸν διδάσκαλον. (ΜΗ', 795). Μεγάλη ἀσφάλεια πρὸς τὸ μὴ ἁμαρτάνειν τῶν Γραφῶν ἡ ἀνάγνωσις (Αὐτόθ). Ἄνευ τῆς ἀναγνώσεως τῶν θείων Γραφῶν οὐκ ἔστι τινὰ σωθῆναι (Αὐτόθ. 993).

Παρομοίωσις τῶν βιβλίων τῆς ἁγίας Γραφῆς πρὸς ἐργαλεῖα τέχνης, δι' ὧν διαπλάττομεν καὶ κατασκευάζομεν τὰ σκεύη· καὶ ὅτι, ὥσπερ ὁ τεχνίτης ἄνευ αὐτῶν οὐ δύναται οὐδὲν τῆς τέχνης αὐτοῦ ποιεῖν, οὕτω καὶ ἡμεῖς ἄνευ τῶν βιβλίων τῆς ἁγίας Γραφῆς οὐ δυνάμεθα χαλκεύειν τὴν ψυχήν, καὶ παλαιωθεῖσαν καὶ διαστραφεῖσαν διορθοῦν (Αὐτόθ. ΜΗ', 993). Ὅτι τὰς ἁγίας Γραφὰς ἀναγινώσκοντες, κἂν μὴ εἰδῶμεν τὰ ἐγκείμενα, πολὺς ὁ ἁγιασμὸς ἐκ τῆς ἀναγνώσεως γίνεται (Αὐτόθ. 959, 994).

Μὴ λέγε, ὅτι δικαστηρίῳ προσήλωμαι, τὰ τῆς πόλεως πράττω πράγματα, τέχνην μετέρχομαι, γυναῖκα ἔχω, παιδία τρέφω, οἰκίας προΐσταμαι, ἀνήρ εἰμι βιωτικός, οὐκ ἔστιν ἐμὸν Γραφὰς ἀναγινώσκειν, ἀλλ' ἐκείνων τῶν ἀποταξαμένων, τῶν τὰς κορυφὰς τῶν ὀρέων κατειληφότων κ. ἑ. (ΜΗ', 992). Ὅτι οἱ ἐν τῇ τύρβῃ τοῦ κόσμου στρεφόμενοι χρῄζουσι μᾶλλον τῆς ἀναγνώσεως τῶν Γραφῶν, ἢ οἱ μοναχοί (Αὐτόθ.).

*Γραφῶν* μαρτυρία καὶ διδασκαλία στερεωτέρα τοῦ ἐκ νεκρῶν ἀνισταμένου (ΜΗ', 1009). Πλοῦτος τῶν ἁγίων Γραφῶν, καὶ βάθος νοημάτων αὐτῶν (Αὐτόθ. 1006—1007).

*Γραφῶν* ἡ μετάφρασις, ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου γενομένη, ἐν τῷ ναῷ τοῦ Σεράπιδος τῆς Ἀλεξανδρείας ἐτηρεῖτο (ΜΗ', 851).

*Γραφαὶ* αἱ ἅγιαι πρὸς θάλασσαν παραβάλλονται ὑπὸ τῶν κυμάτων μὴ σαλευομένην (ΜΗ', 1040).

*Γραφαὶ* αἱ ἅγιαι τὴν συναγωγὴν τῶν Ἰουδαίων οὐδὲν ὠφελοῦσιν (ΜΗ', 850).

*Γραφῶν* ἡ αὐθεντία ἰσχυροτέρα παντὸς συλλογισμοῦ (ΜΗ', 797).

*Γραφαὶ* διὰ τί ἐπὶ Μωϋσέως ἐδόθησαν;

ἀλλ' οὐκ ἐπὶ Ἀβραάμ, οὐδὲ ἐπὶ Νῶε (ΜΘ', 105). Εἰ ὠφέλιμοι αἱ Γραφαί, διὰ τί οὐκ ἐξ ἀρχῆς ἐδόθησαν (ΜΘ', 105).

*Γραφῶν* θησαυρός (ΜΘ', 17). Παραμυθίαν γεννᾷ ἡ τῶν Γραφῶν ἀνάγνωσις, καὶ ὅλης ὁμοῦ, καὶ ἑκάστου μέρους (ΜΘ', 93).

*Γραφῶν* ἁγίων βάθος (ΝΑ', 124). Πάντοτε ἀναγνωστέαι (Αὐτόθ. 90, 126). Πῶς ἑρμηνευτέαι (Αὐτόθ. 90). Ἀνάγνωσις αὐτῶν ἐν τῇ Ἐκκλησίᾳ (Αὐτόθ. 70).

*Γραφαὶ* ἅγιαι ἐπιστολαί εἰσι παρὰ τοῦ Θεοῦ πεμφθεῖσαι ἡμῖν (ΝΓ', 28). Θησαυρὸς μὴ ἐξαντλούμενος (Αὐτόθ. 32. 70). Ἀγάπη Γραφῶν ἁγίων ἀρώμασι παραβάλλεται (ΝΓ', 87, 106, 222. ΝΔ', 480).

*Γραφαὶ* ἐν ταῖς συμφοραῖς ἀντίδοτον (ΝΓ', 262). Πνευματικός ἐστι θησαυρός (ΝΔ', 523). Πρὸς ἡμετέραν ὠφέλειαν ἀνθρωπίνοις κέχρηται λόγοις (ΝΓ', 109). Οὐδεμίαν αὐτῆς συλλαβὴν παραλείπειν (Αὐτόθ.). Οὔτε συλλαβή, οὔτε μόριον ἀνωφελές (ΝΓ',175,378).

*Γραφῆς* φροντὶς εἰς τὸ σημειοῦσθαι τὰ ἔτη (ΝΔ', 561). Γραφαὶ αἱ ἅγιαι τὰ πνευματικὰ συγκρίνουσι, παραβάλλουσαι αὐτὰ πρὸς τὰ αἰσθητά (ΝΓ', 111-112). Εἰς τὴν ἀνάγνωσιν αὐτῶν πᾶς καιρὸς κατάλληλος (Αὐτόθ. ΝΓ'. 321-322). Πόσην παραμυθίαν αὕτη φέρει (Αὐτόθ. 261). Ἡ ἀνάγνωσις τῶν θείων Γραφῶν θησαυρῷ παραβάλλεται (Αὐτόθ. ΝΓ'. 32).

*Γραφῶν* ἁγίων ἔθος ποῖον (Αὐτόθ. ΝΓ', 99). Τὰς ἁγίας Γραφὰς μὴ μόνον ἐν τῇ Ἐκκλησίᾳ, ἀλλὰ καὶ κατ' οἶκον ἀναγινώσκειν δεῖ (Αὐτόθ. ΝΓ', 262). Ἐν ταῖς συνδιαλέξεσι τὰς ἱστορίας τῆς ἁγίας Γραφῆς παραλαμβάνειν χρή (ΝΔ', 686). Τὰς Γραφὰς διὰ τί ὁ Θεὸς ἠθέλησεν ἀσαφεῖς εἶναι (ΝΓ', 292). Γραφῶν ἀνάγνωσις πόσον ὠφέλιμος(ΝΕ',512).

*Γραφῶν* ἡ ἀσάφεια εἰς ἀνεύρεσιν προτρέπει (ΝΕ', 225). Γραφῶν γνῶσις μεγάλην φέρει παραμυθίαν καὶ φιλοσοφίαν (Αὐτόθ. ΝΕ'. 453). Δυσχερὴς τὴν ἐξήγησίν ἐστιν (Αὐτόθ. ΝϚ', 258). Γραφῶν ἁγίων αἱ βίβλοι διὰ τί ἐδόθησαν (ΝΖ', 14). Ἀξία καὶ ὠφέλεια αὐτῶν (ΝϚ', 429). Αἱ Γραφαὶ φάρμακόν εἰσιν. Ζητημάτων ἄβυσσος (ΞΑ', 83).

*Γραφαὶ* τίνας εἶχον ἑρμηνευτάς (ΞΓ', 73). Ἐπὶ Πτολεμαίου τοῦ Β', τοῦ Φιλαδέλφου (285 π. Χ.) ἐκ τοῦ ἑβραϊκοῦ μετεφράσθησαν εἰς τὸ ἑλληνικόν (ΝϚ', 178). Μέρη τινὰ τῶν Γραφῶν οὐ δεῖ κεχωρισμένα τῶν ἄλλων ἑρμηνεύειν, μὴ δόγμα ἐντεῦθεν στρεβλὸν προέλθῃ (Αὐτόθ. ΝϚ', 156).

*Γραφὴ* ἡ θεία καθ' ἑαυτήν ἐστιν ἡδίστη (ΝϚ', 274).

Ἐκ τῶν τοῦ Χρυσοστόμου ἔτι περὶ τῶν θείων Γραφῶν εἰς τὰς σημειωθείσας παραπομπὰς ἰδίᾳ καὶ ἐκτενέστερον.

Τί γάρ, εἰπέ μοι, διδάξαι σε τῶν ἀναγκαίων δυνησόμεθα κ. ἑ.—τοῖς ἐρωτῶσιν ὑμᾶς (ΜΘ', 364 κ. ἑ.).

Οὐκ ἄν τις ἁμάρτοι λειμῶνα ἀρετῶν καὶ παράδεισον πνευματικὸν κ. ἑ.— εἰς καρποφορίαν διεγείροντας (Ν', 473 κ. ἑ.).

Εἰ γὰρ τοῖς τὸν ἴδιον βίον οἰκονομοῦσι κ. ἑ. — αἱ δυνάμεις αἱ ἄνω (Ν', 509).

Εἰ γὰρ οἱ ἐν τῷ θεάτρῳ καθήμενοι κ. ἑ. —τῇ τῶν θείων Γραφῶν ἀκροάσει (Ν', 702).

Ἡ Ἐκκλησία μήτηρ ἐστὶ τῶν οἰκείων τέκνων κ. ἑ.—τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας (Ν', 702-703 κ. ἑ.).

Καὶ μὴ λέγε, ὅτι ἡ Γραφὴ αἰτία κ. ἑ.— καὶ τὴν τράπεζαν εὐλογοῦντα, καὶ ἡμᾶς στεφανοῦντα. Εἰς Φωκᾶν τὸν μάρτυρα (Ν', 703 —706).

Οὐ χρεία χρόνων ἐνταῦθα κ. ἑ.—συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ κ. ἑ. Λόγος εἰς τὴν παραβολὴν τοῦ μύρια ὀφείλοντος τάλαντα (ΝΑ', 19 κ. ἑ.).

Ἔστι γάρ, ἔστι πολλάκις ἄνθρωπος εἰς μυρίων ἀντάξιος κ. ἑ. — καὶ ἡ μηλωτὴ αὐτοῦ τὸν Ἰορδάνην ἀπέστρεψεν. Πρὸς τοὺς ἐγκαταλιπόντας τὴν σύναξιν τῆς Ἐκκλησίας (ΝΑ', 67 κ. ἑ.).

Διὰ χρόνου πρὸς τὴν μητέρα ἡμῶν καὶ τῶν ἐκκλησιῶν ἁπασῶν κ. ἑ.—ἀπερίτρεπτος μένει ἡ Ἐκκλησία. Εἰς τὰς ἐπιγραφὰς τῶν Πράξεων (ΝΑ', 77).

Καὶ γὰρ πνευματικὸς λειμὼν καὶ παράδεισος τρυφῆς κ. ἑ. — ἁπλῶς καὶ εἰκῇ ταλαιπωρεῖσθαι εἰς μάτην. Εἰς τὸ ὅτι χρήσιμος ἡ τῶν Γραφῶν ἀνάγνωσις (ΝΑ', 87 - 90).

Ἆρα ἐπαιδεύθητε μηδὲν εἶναι νομίζειν πάρεργον τῶν ἐν τῇ θείᾳ Γραφῇ κειμένων; κ. ἑ.— φέρε καὶ σήμερον τὰ λειπόμενα. Εἰς Ἀκύλαν καὶ Πρίσκιλλαν (ΝΑ', 195).

Πρὸς τὰς τοῦ μέλιτος πηγὰς καὶ τήμερον ὑμᾶς χειραγωγῆσαι βούλομαι κ. ἑ.— οὕτως ὁ καθαίρων σαπρὸς καὶ φαῦλος. Εἰς τὸ Διὰ δὲ τὰς πορνείας (ΝΑ', 207).

Μακαρίζω τῆς σπουδῆς, ἀγαπητοί, ὑμᾶς μεθ' ἧς εἰς τὸν πατρῷον οἶκον συντρέχετε κ. ἑ.—ἐπειδὴ καὶ ταῦτα τῆς ἰατρείας ἐστὶν ὁ μισθός. Περὶ τοῦ μὴ δημοσιεύειν τὰ ἁμαρτήματα τῶν ἀδελφῶν (ΝΑ', 353 κ. ἑ).

Ἡδὺς μὲν λειμὼν καὶ παράδεισος· πολὺ δὲ ἡδύτερον τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις κ. ἑ.—τοῦτο γὰρ τὸ σχοινίον οὐ διαρρήγνυσι τῶν πραγμάτων ὁ πειρασμός (ΝΒ', 395 κ.ἑ.). Ὅτε ἔξω τῆς Ἐκκλησίας εὑρέθη ὁ Εὐτρόπιος.

Ταῦτα οὖν εἰδότες καὶ τὰ τούτοις ἐοικότα συλλέγοντες κ. ἑ. —εἰς ἀπολογίαν ἡνίκ' ἂν πλημμελῶμεν (ΝΒ', 459 κ. ἑ.). Λόγος, ὅτι τὸν ἑαυτὸν μὴ ἀδικοῦντα οὐδεὶς παραβλάψαι δύναται.

Διά τοι τοῦτο καὶ χαλεπωτέρα τούτους μένει τιμωρία μὴ διωρθωμένους κ. ἑ. — καί τοι τίς τοῦ Παύλου σοφώτερος γέγονεν; (ΝΒ', 479 κ. ἑ.). Πρὸς τοὺς σκανδαλισθέντας ἐπὶ ταῖς δυσημερίαις.

Ἐπειδὴ γὰρ κατὰ τὴν μεγάλην παραίνεσιν τοῦ Χριστοῦ κ. ἑ.— περὶ τοῦ Πατριάρχου διηγήσασθαι κ. ἑ. (ΝΔ', 414).

Πᾶσαι μὲν ἅγιαι αἱ θεῖαι Γραφαί. Ἔχουσι δέ τι πλέον οἱ Ψαλμοὶ κ. ἑ. — πάντων σε ἀπαλλάττει παθῶν (ΝΕ', 533).

Εἰ γὰρ οἱ τὰ μέταλλα ἀνορύττοντες οὐδὲ τὰ μικρὰ ψήγματα παρατρέχουσι κ. ἑ.—τὰς μαρμαρυγάς (ΝϚ', 110).

Τῆς ὁδοῦ ταύτης τῆς αἰσθητῆς καὶ λεωφόρου τὰ μέν ἐστιν ὕπτια καὶ λεῖα, τὰ δὲ κ.ἑ. —οὐχ ὁμοίως εὔπορον διαβῆναι (ΝϚ', 153).

Ὅπερ οὖν ἐπὶ τῆς θαλάσσης γίνεται καὶ ἐπὶ τῆς διανοίας συμβαίνει, τοῦτο κ. ἑ.— νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς (ΝϚ', 165).

Διὰ τοῦτο Γραφὰς ἑρμηνεύομεν κ. ἑ. (Αὐτόθ. ΝϚ', 186).

Τῆς Χριστοῦ βασιλείας τὸ Εὐαγγέλιον κηρύττουσι Προφῆται κ. ἑ.—τῷ ἀριθμῷ τὴν συμφωνίαν ἐργαζόμενος (ΝϚ', 397 κ. ἑ.).

Ψυχῆς πόθον ἐγείρει Θεοῦ λόγος κ. ἑ.— τὴν διάνοιαν τοῖς νοήμασιν (ΝϚ', 438).

Ἂν μὲν γὰρ ἴδω διεγερθέντας καὶ ἐπιθυμοῦντας μαθεῖν, πειράσομαι καὶ τὴν λύσιν ἐπαγαγεῖν κ. ἑ.—οὐδὲ μικρὸν ἀνέχονται παραμεῖναι χρόνον (ΝΖ', 22 κ. ἑ.).

Τίς γὰρ τῶν ἐνταῦθα ἑστηκότων, εἰπέ μοι, Ψαλμὸν ἕνα ἀπαιτηθεὶς κ. ἑ.—ἵνα μὴ τὸν πλοῦτον κερδάνωμεν (ΝΖ', 30).

Εἰ γὰρ τὰ ἐν βασιλείοις γινόμενα ποθοῦμεν εἰδέναι κ. ἑ. — ὅταν ἡμῖν ἅπαντα διαφέρῃ κ. ἑ. (ΝΘ', 26 κ. ἑ.).

Διὰ τοῦτο, ὦ πολυπόθητα τέκνα, κατὰ μέρος ὑμᾶς τοῖς ἀπὸ τῶν Γραφῶν ἑστιῶμεν νοήμασι κ. ἑ.—ἀλλὰ βεβαίαν κατασκευάζων αὐτήν (ΝΘ', 61 κ. ἑ.).

Χρὴ τοίνυν διερευνᾶσθαι μετὰ ἀκριβείας πάντα κ. ἑ. — ἡμᾶς δὲ οὐδὲν ὠφελήσουσι (ΝΘ', 175 κ. ἑ.).

Πανταχοῦ πίστεως ἡμῖν δεῖ, ἀγαπητοί, πίστεως τῆς μητρὸς τῶν ἀγαθῶν κ. ἑ.— περὶ τὴν πίστιν ἐναυάγησαν (ΝΘ', 187).

Ἂν οὕτω τοίνυν θέλωμεν τὰς Γραφὰς ἐρευνᾶν μετὰ ἀκριβείας καὶ μὴ ἁπλῶς, δυνησόμεθα κ. ἑ.—ἀλλ' ὅμως λήψεται (ΝΘ', 295 κ. ἑ.).

Τὰς Γραφὰς οὐχ ἁπλῶς οὐδὲ παρέργως ἐπιέναι χρὴ κ. ἑ. — κνώμεθα, ἰλιγγιῶμεν (ΝΘ', 320).

Ὁ γὰρ φιλόβιβλος δικαίως ἂν ἐκλήθη φιλόχριστος κ. ἑ.— πῶς οὖν ἐκφεύξεσθε τηλικαύτης ἀμελήσαντες σωτηρίας ; (ΝΘ', 553-556 κ. ἑ.).

Πολλαὶ καὶ διάφοροι τῶν ἁγίων Γραφῶν αἱ διδασκαλίαι, μία δὲ χάρις κ. ἑ.—ἡ πηγὴ τῆς εὐσεβείας (ΝΘ', 599).

Ὄντως ἐπεφάνη ἡμῖν ἡ χάρις τοῦ Χριστοῦ κ. ἑ. — ἀλλὰ παρὰ τῶν θείων Γραφῶν (ΝΘ', 687—689).

Πόθεν οὖν τοιοῦτος ὁ εὐνοῦχος τῆς Κανδάκης γεγένηται κ. ἑ. — τῇ ἀναγνώσει τῶν Γραφῶν προσεῖχεν (Ξ', 154).

Ἄρα οὖν ἀληθὴς τροφὴ τὰ λόγια τοῦ Θεοῦ τρέφουσα τὴν ψυχὴν κ. ἑ. — καὶ τῶν κινδύνων ἐξειλκύσαμεν (ΞΓ', 72—74).

Ὡς ἡδίστη ἡ τῶν Γραφῶν ἀνάγνωσις, καὶ λειμῶνος παντὸς ἡδίων κ. ἑ.—πάλιν ἐπιχειρεῖν πράγμασιν (ΞΓ', 485). Ποῦ σοφός, τί ἐστι, ποῦ σοφὸς κ. ἑ.—καὶ τῶν ἑπτὰ παίδων (ΞΓ', 529).

Μέγα τῆς ψυχῆς ἐφόδιον εἰς σωτηρίαν τὰ

ἱερὰ μαθήματα κ. ἑ.—τῆς λογικῆς ἐξουσίας (ΞΓ', 531).

Ἡ μετάνοια δεινὴ καὶ φοβερὰ τῷ ἁμαρτωλῷ κ. ἑ.—ἀλλ' ἵνα σπουδαιοτέρους ἀπεργάσωμαι (ΞΓ', 833).

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἄνοιξον κ. ἑ. —ἵνα σύ μου φωτίσης τὴν καρδίαν (Εὐχὴ ΞΓ', 923).

Ποῦ τότε ἡ σοφία τῶν σοφῶν κ. ἑ.—καὶ εὐρυχωρίας πολλὰς παρέχων (ΞΔ', 41) ὥσπερ οἱ τὰς ὄψεις τῶν σωμάτων κ. ἑ.—οὐκ ἀνέβη ἴασις ἐν αὐτῇ (ΞΔ', 43).

Ἀγγέλοις μὲν οὐρανὸς εὐφροσύνης χωρίον, ἐκκλησία δὲ πιστοῖς ἀντ' οὐρανῶν ἐνδιαίτημα κ. ἑ. —πρὸ τοῦ τάφου μυρία τὰ τοῦ βίου ναυάγια (ΞΔ', 453 κ. ἑ.).

Πειθώμεθα δὲ τῇ θείᾳ Γραφῇ καὶ τοῖς ὑπ' αὐτῆς εἰρημένοις κατακολουθοῦντες κ. ἑ.—ὀρθότητι καὶ βίου ἐπιμελείᾳ (ΞΔ', 500).

Τοῦτο γὰρ βούλεται ὁ νόμος, τοῦτο ἄνωθεν προὔλεγε κ. ἑ. —ὅταν Θεὸς ἐπιτάττῃ (ΞΔ', 1037).

Καλὴ μὲν ἡ τῶν Ψαλμῶν λύρα, θεόπνευστος ἡ τοῦ Πνεύματος κιθάρα, τερπνὸν κ. ἑ. —μυστήρια προκηρύττει (ΞΕ', 693).

Ἐμνήσθην τοῦ Θεοῦ καὶ ηὐφράνθην, ὁ Μελῳδὸς ἐμαρτυρήσατο κ. ἑ. —καὶ οὐ γινώσκουσι τὸ μυστήριον (ΞΛ', 89).

Ἄκουε δὲ καὶ τῷ μαθητῇ, τί φησιν ἐπιστέλλων· «Πρόσεχε τῇ ἀναγνώσει» κ. ἑ.—πρὸς τελείαν οἰκοδομήν (ΜΗ', 670).

Ταῦτα δὲ μέμνησθε καὶ φυλάττετε μετὰ ἀκριβείας κ. ἑ.—καὶ φόβος ἐρειδόμενος πρὸς Θεόν (ΜΗ', 811).

Καὶ τοῦτο ἀεὶ παρακαλῶ, καὶ παρακαλῶν οὐ παύσομαι κ. ἑ. —ἐπὶ τοῦ ὀχήματος καθήμενος (ΜΗ', 991-995).

Ἄμπελος μὲν γάρ, τρυγηθεῖσα καθάπαξ, μένει γυμνὴ τοῦ καρποῦ κ. ἑ. —ἔστωσαν αἱ Γραφαὶ ἀξιοπιστότεραι (ΜΗ', 1010).

Καθάπερ γὰρ ἐν λειμῶνι πολλὰ καὶ ποικίλα ὁρῶ τῆς ἀναγνώσεως τὰ ἄνθη κ. ἑ.—καὶ τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις (ΜΘ', 17).

Τί οὖν αἱ Γραφαί, φησίν, οὐκ εἰσι χρήσιμοι; Χρησιμώταται μὲν οὖν κ. ἑ.— ἐβούλετο παιδεύειν τῶν ἀνθρώπων τὴν φύσιν ὁ Θεός (ΜΘ', 105).

Οὐχ ὁρᾷς πῶς αἱ γυναῖκες καὶ τὰ μικρὰ παιδία ἀντὶ φυλακῆς κ. ἑ. —ἔγγραψόν σου τῇ διανοίᾳ (ΜΘ', 196).

Οὐδὲ γὰρ οὕτως αἱ κόμαι τῶν δένδρων ἀντὶ στέγης τοῖς προβάτοις κ. ἑ.—ληψόμεθα ἀφορμήν (ΜΘ', 299).

Ὁ γὰρ μετὰ πίστεως καὶ σπουδῆς τῶν θείων ἀκροώμενος ῥημάτων κἂν κ. ἑ. —ἐπιδρομῆς (Ν', 522).

Πάσης μὲν θεοπνεύστου Γραφῆς ἡ ἀνάγνωσις γίνεται τοῖς προσέχουσιν εὐσεβείας ἐπίγνωσις κ. ἑ. —ἀθετῶν τὰ προστάγματα (ΝΑ', 41).

Ὥσπερ γὰρ τὸν ἀνθρωπίνην ἀποστρεφόμενον τροφήν, ἀκάνθας δὲ καὶ βοτάνας μετὰ τῶν θρεμμάτων βοσκόμενον κ. ἑ.—λιμῷ τηκομένην (ΝΑ', 116).

Καὶ γὰρ τὴν χρυσίτιδα γῆν τὴν ἐν τοῖς μετάλλοις κειμένην κ. ἑ. —ἅπαντα αὐτῶν ὄψονται ῥᾳδίως (ΝΑ', 125).

Οὐκ ἀναγινώσκειν δὲ μόνον, ἀλλ' ἐπιγινώσκειν χρὴ τὰ λεγόμενα κ. ἑ.—ἂν μὴ διερευνήσῃς το βάθος (ΝΑ', 148).

Μάθετε ὅτι τῶν θείων Γραφῶν οὐδὲν περιττὸν οὐδὲ πάρεργόν ἐστι κ. ἑ.—καὶ θείας ἀπολαύοντες ἀκροάσεως (ΝΑ', 187).

Θησαυρῷ τινι προσέοικεν ἡ τῶν θείων Γραφῶν ἀνάγνωσις κ. ἑ.—δωρεῖται χάριν (ΝΓ', 31).

Ὥσπερ γὰρ τὸ πεινῆν σωματικῆς εὐεξίας ἐστὶ σημεῖον, οὕτω κ. ἑ. —ἄν τις μέγιστον ποιήσαιτο (ΝΓ', 39).

Ἢ οὐχ ὁρᾶτε, ὅτι καὶ οἱ τοὺς λίθους τούτους τοὺς ἀπὸ θαλάσσης εὑρίσκειν βουλόμενοι κ. ἑ. —μετὰ δαψιλείας αὐτὴν ὑποδεχομένους (ΝΓ', 76).

Καθάπερ γὰρ ἡ τῶν θυμιαμάτων φύσις ὅσῳ ἂν ὑπὸ τῶν δακτύλων κ. ἑ. —ἐντεῦθεν τὸν πλοῦτον καρποῦσθαι (ΝΓ', 106).

Καὶ γὰρ εἰδὼς ὁ φιλάνθρωπος ἡμῶν Δεσπότης τὸ ἀσθενὲς κ. ἑ.—τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν (ΝΓ', 104).

Οὐ μόνον δὲ ἡμᾶς χρὴ τὰ ἐν ταῖς θείαις Γραφαῖς ἐγκείμενα εἰδέναι, ἀλλὰ κ. ἑ.—τοῦ ἐπὶ πάντων Θεοῦ ὁδηγούμενοι κ. ἑ. (ΝΓ', 117).

Ἐγὼ δὲ παρακαλῶ πάντας ὑμᾶς μὴ ἁπλῶς παρατρέχειν τὰ ἐν ταῖς θείαις Γραφαῖς κεί-

μενα κ. ἑ.— τοιαύτην σπουδήν (ΝΓ', 175).

Μὴ τὰ ψυχρὰ καὶ ἀνόητα ἐκεῖνα ῥήματα προφέρωμεν καὶ λέγωμεν κ. ἑ.—καὶ τῆς πνευματικῆς νουθεσίας παραίνεσιν (ΝΓ', 183).

Ἡ γὰρ τῶν θείων λογίων φύσις ἐν ὀλίγοις ῥήμασι πολὺν ἐπιδείκνυται τῶν νοημάτων τὸν πλοῦτον κ. ἑ. — καὶ ἀγρύπνου διανοίας ἐπίωμεν (ΝΓ', 206).

Τοῦτο γὰρ ἡμῶν ἡ πᾶσα ἀγρυπνία καὶ σπουδὴ κ. ἑ.— πρὸς τοὺς τῆς ἀρετῆς πόνους (ΝΓ', 206).

Δείκνυσι δέ σοι ἡ θεία Γραφὴ καὶ δικαίους πολλάκις σφαλέντας κ. ἑ.— τὸν καιρὸν καταδαπανῶμεν (ΝΓ', 260).

Διὸ νήφειν χρὴ καὶ ἐγρηγορέναι κ. ἑ.— τοῖς ὀλεθρίοις τούτοις πάθεσιν (ΝΓ', 284).

Διὰ τοῦτο γὰρ καὶ ὁ φιλάνθρωπος Θεὸς οὐκ αὐτόθεν κ. ἑ.—οὕτως οἴκαδε ἐπανελθεῖν (ΝΓ', 292).

Μέγα ἀγαθόν, ἀγαπητοί, τῶν Γραφῶν ἡ ἀνάγνωσις κ. ἑ.—τὰ παρ' αὐτοῦ γεγενημένα (ΝΓ', 322-324).

Μεγάλη τῆς θείας Γραφῆς ἡ δύναμις κ. ἑ. — τὴν ἐξήγησιν ποιησώμεθα (ΝΓ', 342).

Καθάπερ λειμὼν τις εὐανθὴς διάφορα καὶ ποικίλα κ. ἑ.—τῶν δικαίων τὸν ἑαυτῶν βίον οἰκονομῶμεν (ΝΔ', 414).

Οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν· Ἀκούσατε, ὅσοι τῶν παίδων ἀμελεῖτε τῶν ὑμετέρων κ.ἑ.—οὐδὲν κερδαλεώτερον ἦν(ΝΕ',169).

«Ἐμνήσθην ἡμερῶν ἀρχαίων· ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου» κ. ἑ.—τὰς οἰκονομίας τὰς γεγενημένας ἀναμιμνήσκεσθαι(ΝΕ', 453).

Φέρε οὖν καὶ ἡμεῖς τῆς ζάλης τῶν ἤδη γεγενημένων θορύβων ἀπαλλαγέντες κ. ἑ.— ταῦτα διάκειται ὁμοῦ τε φαινόμενα καὶ παρατρέχοντα (ΝΕ', 512).

Ἀλλὰ προσέχειν μετὰ ἀκριβείας κ. ἑ.— καὶ παῦσαι ὁλοκλήρων καταφρονῶν ὀνομάτων (ΝϚ', 110).

Ἀκούσατε, παρακαλῶ, πάντες οἱ βιωτικοί, καὶ κτᾶσθε βιβλία φάρμακα τῆς ψυχῆς κ. ἑ. — τεκμήριόν ἐστι τοῦ μηδὲν μαθεῖν (ΞΒ', 361).

Τὸ κέρδος τοίνυν ἐννοοῦντες τὸ ἡμέτερον, μὴ φθονήσητε κ. ἑ.—κἂν πρὸς βραχὺ ῥαθυμῆσαι βουληθῶμεν (ΝΓ', 90).

Ἀσφαλιζώμεθα τοίνυν, παρακαλῶ, κ. ἑ. — ἐλεεινότερος κ. ἑ. (ΝΓ', 284).

Τί οὖν ; οὐκ ἤρκει εἰς Εὐαγγελιστὴς ταῦτα εἰπεῖν ; κ. ἑ.—ἀκριβῆ παράσχηται τὴν βάσανον ἡμῖν (ΝΖ', 16).

Ἔδει μὲν ἡμᾶς μηδὲ δεῖσθαι τῆς ἀπὸ τῶν γραμμάτων βοηθείας, ἀλλ' οὕτω κ. ἑ.—μετὰ ἀκριβείας τοῖς γεγραμμένοις (ΝΖ', 13).

Ἀπὸ γὰρ τῶν θείων Γραφῶν μέγα τι τῇ ψυχῇ καὶ σωτήριον ἐγγίνεται ἀγαθὸν κ. ἑ. καὶ κλαύσετε καὶ νῦν καὶ τότε κ. ἑ. (ΝΖ', 29).

Πολλῶν ἀκούω λεγόντων, ὅτι παρόντες μὲν κ.ἑ.—ἐπὶ τὰ προκείμενα ἴωμεν (ΝΖ',55).

Πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν κ. ἑ.—καὶ γὰρ ἐκεῖθεν πάντα τίκτεται τὰ καλά (ΝΗ', 484).

Ἔστωσαν τοίνυν ἄνθρωποι πένητες καὶ ἐλεύθεροι οἱ σύσσιτοί σου, μὴ ἐπίορκοι, μηδὲ μῖμοι κ. ἑ.—ὡς ἀθλίους καὶ γαστριμάργους (ΝΗ', 495).

Πολλαὶ νῦν τῶν γυναικῶν εὐαγγέλια τοῦ τραχήλου ἐξαρτῶσαι ἔχουσι κ. ἑ.—τὸ μεμνῆσθαι τῶν αὐτοῦ κατορθωμάτων (ΝΗ', 669).

Ὅταν δὲ αἱ ψυχαὶ ἡμῶν κάμνωσι· μᾶλλον δὲ οὐκ ἔστιν ὅτε οὐ κάμνουσι κ. ἑ.— ἀλλὰ ζῶσι καὶ φθέγγονται (ΝΗ', 684).

Κατὰ μίαν Σαββάτων, ἢ καὶ κατὰ Σάββατον κ. ἑ.—εἰκότως δοκεῖ (ΝΘ', 77).

Τῶν ὀνομάτων καὶ τῶν ῥημάτων τῶν ἐν ταῖς θείαις Γραφαῖς κειμένων κ. ἑ.—ἀλλὰ μετὰ ἀκριβείας πολλῆς (ΝΘ', 97).

Τίς γὰρ ὑμῶν, εἰπέ μοι, ἐν οἰκίᾳ γενόμενος κ. ἑ. —καὶ λέγων οὐ παύσομαι (ΝΘ', 187).

Καθάπερ ἐν τοῖς μετάλλοις τοῦ χρυσίου οὐδὲ τὴν βραχυτάτην φλέβα κ. ἑ. — Πνεύματι γὰρ ἁγίῳ πάντα εἴρηται (ΝΘ', 203).

Μέγα τῶν θείων Γραφῶν τὸ κέρδος, καὶ διαρκὴς ἡ ἐξ αὐτῶν ὠφέλεια κ. ἑ.—οὐ πολλὴν δέξεται τὴν παράκλησιν (ΝΘ', 207).

Οὐδὲ τὸν λόγον αὐτοῦ ἔχετε μένοντα ἐν ὑμῖν κ. ἑ.—πρὸς πᾶν ἔργον ἀγαθὸν ἀπηρτισμένος (ΝΘ', 233).

Πολὺν ποιώμεθα, ἀγαπητοί. τὸν πνευματικὸν λόγον κ. ἑ.—τῇ ψιλῇ ἀναγνώσει μόνον αὔξειν (ΝΘ', 233).

Εἰκότως δὲ θύραν τὰς Γραφὰς ἐκάλεσεν. Αὗται γὰρ κ. ἑ.—καὶ τοὺς Προφήτας πάντας (ΝΘ', 323).

Διὰ ταῦτα αἰσχύνομαι καὶ ἐκπλήττομαι, παρὰ μὲν Ἕλλησι κ. ἑ.—καὶ πάντα ἄκαρπα γίνεται (ΝΘ', 459). Ὀδυνηρὸς ὁ λόγος, καθότι καὶ ἔσχατος, ὥς μοι δεδήλωται κ. ἑ. —καὶ ὑμᾶς διώξουσιν (ΝΘ', 553-564).

Ἀκούσατε καὶ φρίξατε. Κοινὸς διάκονος ἕστηκεν ὁ διάκονος μέγα βοῶν καὶ λέγων· «Πρόσχωμεν» κ. ἑ. — οὐκ ἔχουσα πέρας (Ξ', 155).

Παρακαλῶ καὶ δέομαι μὴ τοῦτο μόνον ὁρᾶν κ.ἑ.—εἶτα τὸ ὅλον ἀπονίψασθαι(Ξ',219).

Μέγα κακὸν ἀγνοεῖν Γραφάς· ἀφ' ὧν ὠφελεῖσθαι δεῖ κ. ἑ.—οὐδεὶς ἡμῖν ὁ λόγος ἐστίν (Ξ', 250).

Καὶ γὰρ ἐντεῦθεν τὰ μυρία ἀνεφύη κακά, ἀπὸ τῆς τῶν Γραφῶν ἀγνοίας κ. ἑ. — τῶν ἀποστολικῶν ῥημάτων (Ξ', 391).

Ταῦτα δὲ ἐγράφη, ἵνα μιμώμεθα κ. ἑ.— ἀπὸ τῶν Γραφῶν γίνεται (Ξ', 646).

Οὐδὲν περιττόν, οὐδὲ εἰκῆ περιφέρεται ἐν ταῖς Γραφαῖς κ. ἑ. — καὶ νεκροὺς ἐγείρειν. (Ξ', 667).

Καὶ γὰρ τοῦ Εὐαγγέλιον κρέμασθαι παρὰ τὴν κλίνην κ. ἑ. — τοσοῦτον ὠφεληθήσῃ. (Ξ', 667).

Μὴ τοίνυν τὰς τῶν πολλῶν δόξας περιφέρωμεν, ἀλλὰ τὰ πράγματα ἐξετάσωμεν κ. ἑ. —καὶ τῶν αἰωνίων ἐπιτύχωμεν ἀγαθῶν (ΞΑ', 496).

Ἵνα οὖν καὶ ἑαυτοῖς καὶ ἑτέροις γινώμεθα χρήσιμοι, Παῦλον συνεχῶς μεταχειριζόμεθα κ. ἑ.—ἐντρυφῶντες (ΞΑ', 546).

Βούλει εἶναι τὸν υἱὸν πειθήνιον, ἐξ ἀρχῆς αὐτὸν ἔκτρεφε κ. ἑ.—καὶ τοὺς περὶ φιλοσοφίας ἐκχέοντα λόγους (ΞΒ', 150).

Ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως· τουτέστιν, ἡ διδασκαλία, τὰ δόγματα, ἡ παραίνεσις κ. ἑ.— οὕτω πηγή τίς ἐστι τὰ διδάγματα (ΞΒ', 359).

Ταῖς θείαις κεχρημένοι Γραφαῖς καθάπερ πλοίῳ τινὶ κ. ἑ.—σωτηρίας ἐλπίς (ΞΒ', 459).

Τί εἰσέρχομαι, εἰ οὐκ ἀκούω τινὸς ὁμιλοῦντος; Τοῦτο πάντα ἀπολώλεκε καὶ διέφθειρεν. Τί γὰρ χρεία ὁμιλητοῦ; κ. ἑ.— σὺ δὲ ἀγνοεῖς (ΞΒ', 485).

Σύνοψις τῆς Παλαιᾶς Διαθήκης ἀπὸ τῆς Γενέσεως μέχρι τοῦ προφήτου Ναούμ· ἤτοι εἰς βιβλία κθ' (ΝϚ', 313-386).

Εἰδώς, φησίν, ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ Γράμματα οἶδας κ.ἑ.—μέγα τοῦ εἰδέναι τεκμήριον (ΞΒ', 646).

Πῶς δὲ γεγυμνασμένα γίνεται ἡμῶν τὰ αἰσθητήρια; κ. ἑ.—οὕτω γὰρ καὶ ταῦτα ἕψεται (ΞΓ', 73).

Ποῦ τὰ Πλάτωνος καὶ Πυθαγόρου, καὶ τῶν ἐν Ἀθήναις; Ἐσβέσθη. Ποῦ τὰ τῶν ἁλιέων κ. ἑ.—ἀλλ' ἐν σωφροσύνῃ τὰ τῆς φιλοσοφίας (ΞΓ', 501).

Οἱ τὰς θείας Γραφὰς ἐξουθενοῦντες καὶ τὸ ἅγιον Πνεῦμα ἐνυβρίζοντες κ. ἑ.—ἀσεβεῖς ἐξουθενήσουσιν (Ξ', 697).

Ἠρώτησέ τις τῶν ἐν λόγοις δικανικῶν γέροντα ἀσκητὴν περὶ Χριστιανισμοῦ καὶ μοναχικοῦ βίου κ. ἑ. Ἀπάντησις ἐκ τῶν θείων Γραφῶν λίαν εὔστοχος καὶ σώφρων (Μάρκ. Ἐρημ. Ἀντιβολὴ πρὸς σχολαστικὸν ΞΕ', 1072-1092).

***Γραφῶν*** θείων ἐντριβὴς καὶ ἄπειρος. Σφόδρα ὀλίγων τυγχάνει ὁ ἄπειρος τῶν πάντα τὸν ἑαυτῶν βίον ἀνατεθεικότων τῇ περὶ τὰς θείας Γραφὰς ἐξετάσει (Θεόφ.'Αλεξ. ΞΕ',68).

***Γραφὴ*** θεόπνευστος διδάσκει μέγα καὶ βαθὺ μυστήριον ἐν ὀστρακίνοις σκεύεσιν (Πρόκλος Π. Κ/πόλεως ΞΕ', 837).

Φίλαυτοί εἰσιν οἱ πάντα πρὸς τὴν ἑαυτῶν ὠφέλειαν ποιοῦντες· ἀλαζόνες, καυχώμενοι ἔχειν ἃ μὴ ἔχουσιν· ὑπερήφανοι, μεγάλα φρονοῦντες ἐπὶ τοῖς οὖσι· βλάσφημοι, κατηγορίαις χαίροντες· ἀνόσιοι, ἐπιμέλειαν τοῦ δικαίου μὴ ποιούμενοι· ἄστοργοι, περὶ οὐδένα σχέσιν ἔχοντες· ἄσπονδοι, οὐ βέβαιοι περὶ τῆς φιλίας, οὐδὲ ἀληθεῖς περὶ ἃ συντίθενται· διάβολοι, ταῦτά τε ἐκεῖ, ἐκεῖνα ἐνταῦθα λέγοντες ἐπὶ τῷ κατεργάζεσθαι μάχην· ἀκρατεῖς, ἥττους τῶν παθῶν· ἀνήμεροι, οὐδεμιᾶς χρηστότητος ἐπιμελούμενοι· τετυφωμένοι, μεγάλα φρονοῦντες ἐπὶ τοῖς μὴ προσοῦσιν. Διαφέρει δὲ τοῦ ἀλαζόνος τῷ τὸν μὲν τετυφωμένον ἀπὸ τῆς γνώμης λέγειν, ἀλαζόνα δὲ τὸν ἐπὶ ῥήματι καυχώμενον (Θεόδ. Μοψουεστίας ΞϚ', 945).

***Γραφαὶ*** θεῖαι, ἀλήθεια ἐν δικαιοσύνῃ. Αἱ θεόπνευστοι Γραφαὶ δόγματα μὲν θαυμαστὰ

καὶ ὄντως θεῖα διδάσκουσιν. Καὶ πολλὴν μὲν εὐλάβειαν καὶ βίον ὀρθὸν τοῖς ἀκροαταῖς ἐντιθέασι, πίστιν τε θεοφιλῆ τοῖς σπουδαίοις παρέχουσιν. Οὐ μὴν τέχνην διδάσκουσι λογικὴν πρὸς τὸ δύνασθαι ἀπαντᾶν τοῖς βουλομένοις τῇ ἀληθείᾳ προσπολεμεῖν (Σωκρ. Ἐκκλ. Ἱστορ. ΞΖ', 421). Πορφύριος, Ἰουλιανὸς καὶ Λιβάνιος κατὰ τῶν θείων Γραφῶν (Αὐτόθ. 436—449).

*Γραφῶν* ἑρμηνεία. Ἐν Καισαρείᾳ τῆς Καππαδοκίας καὶ ἐν Κύπρῳ ἀεὶ περὶ ἑσπέραν μετὰ τῆς λυχναψίας ἐν ἡμέρᾳ Σαββάτου καὶ Κυριακῆς οἱ πρεσβύτεροι καὶ ἐπίσκοποι τὰς Γραφὰς ἑρμηνεύουσιν (Σωκρ. αὐτόθ. 640).

*Γραφῶν* θεωρίαι καὶ ψιλὸν γράμμα (Σωκρ. αὐτόθ. 668).

## Ἐκ τῶν τοῦ Κυρίλλου Ἀλεξανδρείας.

«Ἐρευνᾶτε τὰς Γραφάς», τοῖς Ἰουδαίων δήμοις προσεφώνησεν ὁ Χριστὸς κ. ἑ. — λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου (ΞΘ', 13).

Πολυμερῶς καὶ πολυτρόπως ἡ θεόπνευστος Γραφὴ τῆς διὰ Χριστοῦ σωτηρίας προαναφωνεῖ τοὺς τύπους κ. ἑ. — καὶ ὁ λαός μου οὐ συνῆκεν (Αὐτόθ. ΞΘ', 225).

Ἱεροὶ μὲν λόγοι, καὶ θείων ἄθροισις μαθημάτων, εὐκλεᾶ τοῖς εἰρηκόσι περιποιοῦσι τὴν ὄνησιν κ. ἑ. — τῶν ἀξιαγάστων ἐρῶντα πραγμάτων (Αὐτόθ. ΞΘ', 717).

Ἐπέφανεν ἐν ἡμῖν Θεὸς ὢν Κύριος, κατὰ τὰς Γραφὰς κ. ἑ. — καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους (Αὐτόθ. Ο', 857).

Ἐκζητήσατε τὸ καλόν, καὶ μὴ τὸ πονηρὸν κ. ἑ. — εἶναι σοφοὺς ἐπιμελητάς (Αὐτόθ. ΟΑ', 501).

Εἷς μὲν ἅπασι τοῖς ἁγίοις Προφήταις καὶ θεοφιλὴς ὁ σκοπός, τὸ ἀνασεῖσαι τὸν Ἰσραὴλ ἀποφοιτῆσαι νεανικῶς τὸ πλανᾶσθαι θέλειν κ. ἑ. — καὶ δεσποτικοῖς θεσπίσμασι τὴν ἐμαυτοῦ δανείζω φωνήν (ΟΑ', 640-644).

Ἰστέον οὖν, ὅτι Θεῷ προσκρούοντες, ἐν ἐνδείᾳ μὲν εὐθὺς ἐσόμεθα παντὸς ἀγαθοῦ κ. ἑ. — τῆς ἀληθείας τὸ κάλλος ἐσπουδακόσιν (Αὐτόθ. ΟΑ', 749).

Ἴδοι δ' ἄν τις καὶ νῦν τοὺς Ἑλλήνων παῖδας μέγα μὲν φρονοῦντας ἐπὶ σοφίᾳ κοσμικῇ κ. ἑ. — καὶ ἀληθῆ ποιούμενοι τὴν κατάρρησιν (Αὐτόθ. ΟΒ', 137).

Προσεκτέον δὴ οὖν οὐχὶ τοῖς ἀποφθεγγομένοις τὰ μάταια κ. ἑ. — Ἐν τιμῇ τὴν ἀνθρώπῳ πρέπουσαν ἀναλαβὼν φρένα (ΟΒ', 161).

Πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ὅμοιός ἐστι κ. ἑ.—τὰς τῶν παιδαγωγουμένων ὀνίνησι ψυχάς (Αὐτόθ. ΟΒ', 325).

Χρὴ δὴ οὖν ἄρα διαζῆν ἁγίως καὶ ὀρθοποδεῖν ἐν Ἐκκλησίᾳ τοὺς ἀπολέκτους ἱερουργοὺς ἢ τοὺς κεκλημένους εἰς ἱερωσύνην κ. ἑ. — καὶ διαζῆν ἡγουμένους ὡς ἀνδάνει Θεῷ (Αὐτόθ. ΟΒ', 328).

Εὐαγγέλιόν ἐστι λόγος περιέχων ἀγαθῶν ἀγγελίαν πραγμάτων κατὰ τὸ εὔλογον, καὶ διὰ τὸ ὠφελεῖν εὐφραίνων τὸν ἀκούοντα, ἐὰν παραδέξηται τὸ ἀπαγγελλόμενον· ἢ λόγος περιέχων ἀγαθῶν παρουσίαν, ἢ λόγος ἀπαγγέλλων προσδοκώμενον (Αὐτόθ. ΟΒ', 365).

«Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ». Καλῶς γε σφόδρα ποιῶν κ. ἑ. — τὰ ἐν ταῖς θεοπνεύστοις Γραφαῖς θεωρήματα (Αὐτόθ. ΟΓ', 8 - 12).

Ἀκριβὴς ὄντως καὶ θεοδίδακτος τῶν ἁγίων Εὐαγγελιστῶν ἡ διάνοια κ. ἑ.—«Ἐγώ εἰμι ἡ ὁδός» (Αὐτόθ. ΟΓ', 185).

Λεπτὴ μὲν γάρ πως, μᾶλλον δὲ ἀσθενεστάτη λίαν ἐστὶν ἡ ἀνθρώπου διάνοια, ἀδρανὴς δὲ ἡ γλῶσσα, καὶ μόλις τὰ ἐν χερσὶν ἑρμηνεύειν ἰσχύουσα κ. ἑ. — ἐπὶ τὴν τῆς ἀληθείας εὕρεσιν ἀνενδοιάστως πιστεύοντες (Αὐτόθ. ΟΕ', 9 - 12).

Δυσέφικτα μὲν κομιδῇ τὰ περὶ Θεοῦ καὶ τοῖς ἄγαν ἐξησκημένοις καὶ ἀρτίως ἔχουσιν εἰς τὸ δύνασθαι καταρθρεῖν μυστήρια κ. ἑ.— οὐαὶ γάρ μοί ἐστιν, ἐὰν μὴ εὐαγγελίζωμαι (Αὐτόθ. ΟΕ', 657).

Πόνων ἀγαθῶν ὁ καρπὸς εὐκλεής, ἀνακεκραγότος τινὸς τῶν σοφῶν, καὶ τοῖς ἔτι μάλιστα φιλεργεῖν εἰωθόσι κ. ἑ.—(ΟΕ', 1076).

Ἔδει μὲν πάντας τοὺς τῇ προσηγορίᾳ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λαμπρυνομένους κ. ἑ. — οὗτος γὰρ τῆς θείας διδασκαλίας ὁ ὅρος (ΟΕ', 1148).

Ταύτην τὴν πίστιν κατέχομεν· ταύτην γὰρ παρὰ τῶν θεολόγων ἀνδρῶν ἐδιδάχθημεν κ.ἑ.

— ἐκείνοις ἀκολουθήσωμεν (Αὐτόθ. ΟΕ', 1189).

Μαθημάτων μέντοι τῶν ἱερῶν κόρος ἂν γένοιτο παντελῶς οὐδεὶς τοῖς γε ἀληθῶς ἀρτίφροσι κ. ἑ.—(ΟΕ', 1253).

Ἡ τῆς θείας Γραφῆς ὀρθοτάτη ἔννοια εἰσοικιζομένη εἰς τὸν τῶν ἁγίων νοῦν κατακοσμεῖν εἴωθε τὰς τῶν ἁγίων ψυχὰς κ. ἑ.— «Ἐρχέσθω πρός με καὶ πινέτω» (Αὐτόθ. ΟΕ', 1413).

Ἐμμένωμεν οἷς ἐλάβομεν ὅροις· μὴ ὅρια μετενέγκωμεν, ἃ ἔθεντο οἱ Πατέρες ἡμῶν· ἀρκεσθῶμεν τῇ δοθείσῃ διδασκαλίᾳ κ. ἑ. — καὶ τὸ εἶναι εἰκὼν τοῦ Θεοῦ προσαπώλεσεν (Αὐτόθ. ΟΕ', 1476).

Τοῖς μὲν τὴν θείαν Γραφὴν πολυπραγμονεῖν ἐθέλουσι καὶ ἀποδιώκουσι μὲν τὸ ῥᾴθυμον κ. ἑ.— παρά γε τοῖς ἀρτίοις τὴν φρένα (Αὐτόθ. Ο϶', 9).

Διαφόροις γὰρ δόξαις καταμεθύουσί τινες παραπλάττοντες εἰς τὸ ἀκαλλὲς τὰ ἐπ' αὐτῷ κεχρησμῳδημένα παρά τε τῆς Νέας καὶ Ἀρχαιοτέρας Γραφῆς κ. ἑ. —μήτε περὶ τίνων διαβεβαιοῦνται (Ο϶', 1140).

Πανταχόθεν οὖν ἄρα συνωθούμενοι πρὸς ἀκρίβειαν, καὶ τὸ τοῖς ἱεροῖς Γράμμασι δοκοῦν ἰχνηλατεῖν κ.ἑ.—καὶ οὐ φύσεως (Αὐτόθ. Ο϶', 1200).

Τοιούτους τοιγαροῦν διδασκάλους κερδάναντες, πείθεσθαι τούτοις καὶ ὑπείκειν προελώμεθα κ. ἑ.—ἀλλ' εὐσεβείας ἀληθοῦς πίστιν ἐπιγινώσκοντες (Αὐτόθ. ΟΖ', 856).

Οἱ τοῖς ἱεροῖς προσέχοντες Γράμμασι σεσοφισμένην ἔχουσι τὴν καρδίαν κ. ἑ.—ζωὴν ἔχει τέλος (ΟΖ', 981).

Τί μοι γὰρ πολυπραγμονεῖν, καὶ μὴ φιλοφρονεῖν περὶ τὴν Γραφήν ; κ. ἑ.—εἰς ἄργυρον καὶ χρυσόν (ΟΖ', 993).

Οὗτοι οἱ τῆς εὐσεβείας διδάσκαλοι, οἱ στύλοι καὶ ὄροφοι τῆς πίστεως κτλ. κτλ.— τούτοις πειθώμεθα καὶ ἡμεῖς κ. ἑ. (Αὐτόθ. ΟΖ', 1029).

Ἔχεις, ὦ πιστότατον καὶ ἱερώτατον Χριστοῦ ποίμνιον, τὰ τῆς ἑορτῆς ἐγκώμια κ. ἑ. —«Κύριος σοφοῖ τυφλούς» (Αὐτ. ΟΖ',1068).

Οἱ μὴ κοπιῶντες νουνεχῶς καὶ νήφοντες ἐν εὐχαῖς αἰχμαλωτίζονται ὑπὸ αἰσχρῶν λογισμῶν κ. ἑ. — τὴν φιλαργυρίαν ξηράνωμεν (Αὐτόθ. ΟΖ', 1072-1088).

Τοὺς ἐν εὐσεβείᾳ συντεθραμμένους καὶ τῶν θείων δογμάτων ἀκριβῆ καὶ τετορνευμένην ἔχοντας γνῶσιν γῆν θελητὴν ὁ Προφήτης ὀνομάζει κ. ἑ. Οὕτω καθαρὸν τὸ χωρίον (Αὐτόθ. ΟΖ', 1096).

Ἐσπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς κ. ἑ.—οὕτω ζητεῖται Θεός (Αὐτόθ. ΟΑ', 253).

## Ἐκ τῶν τοῦ Ἰσιδώρου Πηλουσιώτου.

*Γραφῶν* θείων ἀνάγνωσις καὶ τοῖς ἑστῶσι καὶ τοῖς πεσοῦσι καὶ πᾶσιν ἁπλῶς ἐστιν ὠφέλιμος, ἑκάστῳ χρησμῳδοῦσα (ΟΗ', 196, 516, 725).

*Γραφῶν* διαστροφὴ ἐπὶ ἰδίᾳ ὠφελείᾳ καὶ ἀπάτῃ (Αὐτόθ. ΟΗ', 940 κ. ἑ. 689, 1508, 1516).

*Γραφῶν* ἑρμηνευταὶ ποῖοι ὀφείλουσιν εἶναι (Αὐτόθ. ΟΗ', 965). Πῶς δεῖ ἀναπτύσσειν τὰς ἱερὰς Γραφάς (Αὐτόθ. 196, 197, 200, 204, 505).

*Γραφῶν* διδάσκαλοι καὶ ὑφηγηταί τινες ; (Αὐτόθ. ΟΗ', 456). Ἡ σοφία ἐκέρασε τὰς θείας Γραφάς (Αὐτόθ. 457).

*Γραφαῖς* θείαις πιστεύειν χρή. Εὐαγὲς τὸ τοῖς θείοις πιστεύειν χρησμοῖς καὶ τούτοις ἕπεσθαι μετὰ σπουδῆς (ΟΗ', 504).

Περὶ ἀναγνώσεως τῶν θείων Γραφῶν (Αὐτόθ. ΟΗ', 548). Γραφαῖς ἱεραῖς ὁ πιστεύων ὅτι ἀληθεῖς εἰσι γνωσιμαχεῖ (Αὐτόθ. 608—609).

*Γραφῶν* θείων ἀλήθεια ἄνευ κόμπου. Οἱ δὲ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν (Αὐτόθ. ΟΗ', 656).

*Γραφαῖς* θείαις πείθεσθαι. Τὸ γὰρ εἶναι Θεὸν τὸν θεσπίζοντα πᾶσαν μὲν ἀντιλογίαν ἐξορίζει, πᾶσαν δὲ πειθὼ δημιουργεῖ (Αὐτόθ. ΟΗ', 688).

Περὶ ὁμωνύμων καὶ συνωνύμων ἐν ταῖς θείαις Γραφαῖς. Παραβολὴ καὶ διαφορὰ χωρίων (Αὐτόθ. ΟΗ', 796-797).

*Γραφαὶ* διὰ τί ἐδόθησαν ἡμῖν. Τοῖς παλαιοῖς ὁ Θεὸς οὐ διὰ γραμμάτων διελέγετο, ἀλλὰ δι' ἑαυτοῦ, καθαρὰν εὑρίσκων αὐτῶν τὴν γνώμην, καὶ τῆς ἄνευ μεσίτου διδασκαλίας ἀξίαν

κ. ἑ. —μείζονα προκαλεῖσθαι τὴν κόλασιν (Αὐτόθ. ΟΗ', 812-813). Ἀγράφως καὶ ἐγγράφως ἐλάλησεν ὁ Θεός (Αὐτόθ.).

*Γραφὰς* θείας οἱ παρερμηνεύοντες, καὶ τὸ οἰκεῖον μᾶλλον βούλημα ἢ τὸ ἐν αὐταῖς κείμενον παριστᾶν πειρώμενοι, κάπηλοί εἰσι τὸν οἶνον ὕδατι μίσγοντες (Αὐτόθ. ΟΗ', 689, 825-828, 940).

*Γραφῶν* θείων ἑρμηνευταί. Τὸν λαμπρᾶς ἁπτόμενον ὑποθέσεως καὶ τὸν νοῦν τῶν ἱερῶν Γραφῶν ἑρμηνεῦσαι πειρώμενον χρὴ τὴν μὲν γλῶτταν ἔχειν σεμνὴν καὶ τρανήν, τὴν δὲ γνώμην εὐσεβῆ τε καὶ εὐαγῆ, ἀκολουθεῖν τε αὐταῖς, καὶ μὴ ἡγεῖσθαι, μηδὲ πρὸς τὸ οἰκεῖον βούλημα τὸν ἐκείνων νοῦν ἐκβιάζεσθαι. Τοῖς γὰρ παραποιεῖν καὶ παρερμηνεύειν τολμῶσι κίνδυνος ἐπήρτηται μέγιστος εἰς αὐτὴν τὴν ψυχὴν βλέπων (Αὐτόθ. ΟΗ', 965). Πνευματικοῖς πνευματικὰ ῥήματα καὶ ὀνόματα συγκρίνειν ὁ θεσπέσιος Παῦλος ἐνομοθέτησεν. Προσήκει καὶ ἡμᾶς τῷ κανόνι τούτῳ πειθομένους βασανίζειν Γραφάς (Αὐτόθ. 993-997).

Ὠφέλεια ἐκ τῆς ἀναγνώσεως τῶν θείων Γραφῶν. Οἱ θεῖοι καὶ οὐράνιοι χρησμοὶ τοῖς μὲν τῶν καλῶν ἀνεράστοις γράμματα μόνον εἶναι δοκοῦσι, τοῖς δὲ ὑπερκοσμίοις καὶ φιλοθεάμοσι λειμῶνές εἰσιν εὐανθεῖς, ὥσπερ ἐξ οὐρανίου νέκταρος βρύοντες ἀκηράτοις ἄνθεσι κ. ἑ. (Αὐτόθ. ΟΗ', 1029).

Τὰς μὲν Ἑλλήνων θεοποιίας, καὶ ἃς καλοῦσι θεογονίας, Ὀρφεύς τε καὶ Ὅμηρος καὶ Ἡσίοδος, καὶ ὅσοι κατ' ἐκείνους ἐδίδαξαν, πολλὰς καὶ βίβλους καὶ δόξας συνείραντες. Τὴν ἡμετέραν δὲ θρησκείαν δύο πυκταὶ διδάξουσιν, ὧν ἡ μὲν Πρεσβυτέρα, ἡ δὲ Νέα Διαθήκη προσαγορεύεται. Εἰ δὲ ἀληθεύουσιν αὗται μᾶλλον ἐκείνων καὶ τοῖς ὀνόμασι καὶ τοῖς πράγμασιν, αὐτὸς εὑρήσειας πέπεισμαι καὶ κρατήσειας τί ἄμεινον (Αὐτόθ. ΟΗ', 196).

Ἐπιστημονικῶς τὴν ἁγίαν Γραφὴν ἀνελίσσειν ὀφείλεις καὶ τὰς αὐτῆς δυνάμεις νουνεχῶς ἀνιχνεύειν κ. ἑ. — καὶ τὰς κολάσεις μὴ πάθωμεν (Αὐτόθ. 197).

*Γραφαὶ* θεῖαι καὶ διαθηκῶν συμφωνίαι. Καινότητα δογμάτων, ὦ φιλότης, οὐδεμίαν τῷ νόμῳ καὶ τοῖς Προφήταις ὁ τοῦ Θεοῦ Υἱὸς ἐπεισήγαγεν, ἀλλὰ τοῖς πάλαι περὶ αὐτοῦ προφανθεῖσι τὸ πέρας ἐπέθηκε κ. ἑ. — τῶν Διαθηκῶν ἐνδιάθετον συμφωνίαν (Αὐτόθ. ΟΗ', 256).

*Γραφὴν* τὴν θείαν ἐξευτελίζουσιν Ἑλλήνων παῖδες, ὡς βαρβαρόφωνον καὶ ὀνοματοποιίαις ξέναις συντεταγμένην, συνδέσμων δὲ ἀναγκαίων ἐλλείπουσαν, καὶ περιττῶν παρενθήκῃ τὸν νοῦν τῶν λεγομένων ἐκταράττουσαν. Ἀλλ' ἀπὸ τούτων μανθανέτωσαν τῆς ἀληθείας τὴν ἰσχὺν κ. ἑ. — αὕτη δὲ γῆν τε καὶ θάλασσαν ἐπηγάγετο; (Αὐτόθ. ΟΗ', 1080-1085).

*Γραφῶν* θείων μαρτυρίαι δημιουργοῦσι τὸν λόγον ἰσχυρότερον καὶ δραστικώτερον (Αὐτόθ. 1100).

*Γραφῶν* θείων διδασκαλία καταβολὴ ταλάντων ἐστί· τόκος δὲ ἡ τῶν ἔργων ἐπίδειξις (Αὐτόθ. ΟΗ', 1036).

*Γραφῆς* χρῆσις ὀνομάτων ἀλόγων καὶ ἀναισθήτων ὡς λογικῶν μεταφορικῶς. Παραδείγματα (Αὐτόθ. 1109-1117).

Περὶ τῆς χάριτος τῶν θείων Γραφῶν καὶ τῆς ἐξ αὐτῶν ὠφελείας καὶ ὅτι σύντομοι μέν, ἀλλ' ἀληθεῖς. Εἰ δὲ ὑψηλῆς φράσεως ἐρᾷεν, μανθανέτωσαν ὅτι ἄμεινον παρὰ ἰδιώτου τἀληθὲς ἢ παρὰ σοφιστοῦ τὸ ψεῦδος μαθεῖν. Ὁ μὲν γὰρ ἁπλῶς καὶ συντόμως φράζει, ὁ δὲ πολλάκις ἀσαφείᾳ καὶ τὸ τῆς ἀληθείας ἐπικρύπτει κάλλος, καὶ τὸ ψεῦδος τῇ καλλιεπείᾳ κοσμήσας, ἐν χρυσῇ κύλικι τὸ δηλητήριον ἐκέρασε κ. ἑ.— δείκνυται λαμπρῶς θεία οὖσα καὶ οὐράνιος (Αὐτόθ. ΟΗ', 1124-1125 1149-1152, 1221).

Ὅτι οὐκ ἦν συμφέρον τῶν πάντων γνῶσιν ἔχειν ἡμᾶς. Περὶ ἀσαφείας τῶν Γραφῶν.

Σοφὸν ἔγωγε καὶ τοῦτ' εἶναι ἡγοῦμαι, ὃ σὺ φῂς παράλογον. Εἰ μὲν γὰρ πάντα ἦν δῆλα, ποῦ τῇ συνέσει ἐχρησάμεθα, μὴ οὔσης ζητήσεως; Εἰ δὲ πάντα ἄδηλα, καὶ οὕτως ἀνεπεπτώκειμεν ἄν, μὴ οὔσης εὑρέσεως. Νῦν δὲ διὰ τῶν δήλων καὶ τὰ ἄδηλα τρόπον τινὰ καταλαμβάνεται. Εἰ δὲ διαφεύγοι, καὶ οὕτως ἡμᾶς ὠφελεῖ, τὸ φύσημα ἡμῶν καταστέλλοντα (Αὐτόθ. ΟΗ', 1144-1145, 1213-1216).

*Γραφῶν* ἀμέλεια λήθην ἐμποιεῖ.

Καὶ ὁ θεσπέσιος Παῦλος, καί τοι πνευ-

ματικοῖς κομῶν χαρίσμασι, τῆς ἀναγνώσεως οὐ μικρὰν ἐποιεῖτο σπουδήν. Διὸ καὶ τῷ θρέμματι αὐτοῦ τῷ περιβλέπτῳ ἔγραφε· «Πρόσεχε τῇ ἀναγνώσει» (Α' Τιμ. δ', 13). Δεινὸν γὰρ μάλιστα τῷ γευσαμένῳ τῆς θείας σοφίας ἐστερῆσθαι ταύτης, οὐ μόνον τῆς μνήμης οὐ προσγινομένης, ἀλλὰ καὶ τῆς ὑπαρχούσης λήθῃ διολλυμένης. Αὕτη γὰρ μάλιστα ἡ δύναμις, εἰ μὴ καθ' ἑκάστην ἡμέραν θεραπεύηται, ἀποφοιτᾶν πέφυκεν, ἀργίας καὶ ῥαθυμίας καὶ σκήψεως μὴ ἀνεχομένη. Ὅπερ οἱ πολλοὶ ἀγνοοῦντες, μᾶλλον δὲ τὴν οἰκείαν ἀμαθίαν περιστέλλοντες, κωμῳδοῦσι τοὺς φιλολόγους καὶ σοφούς, οὐκ εἰδότες ὅτι ἡ σοφία σοφοῖς φοιτηταῖς μάλιστα χαίρει (Αὐτόθ. ΟΗ', 1149).

Περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Καὶ τοῖς ἕως τῶν τῇδε ὁριζομένοις εἶναι τὰ πράγματα μετριωτέρα, οἶμαι, ἡ τοῦ βίου τελευτὴ τῆς ἐν τῇ ζωῇ ἀμαθίας. Εἰ δὲ ἐκείνοις, πολλῷ μᾶλλον ἡμῖν τοῖς εἰς αἰῶνα τὸν σκοπὸν ἔχουσι, καὶ τὴν σύνεσιν καθ' ἑκάστην ἡμέραν ἀκονᾶν ἐκ τῶν θείων λογίων ὀφείλουσιν (Αὐτόθ. ΟΗ', 1149-1253).

Περὶ συγγραμμάτων καὶ ὕφους ἐποποιίας, τραγῳδίας, κωμῳδίας, ῥητορικῆς ἁβρότητος, ὕψους Πλάτωνος, Θουκυδίδου σεμνότητος, Ἰσοκράτους λιτότητος, Δημοσθένους δεινότητος, Λυσίου, Ἰσαίου, Αἰσχίνου, Ἀριστοτέλους. — Ἀλλ' οἱ θεῖοι καὶ οὐράνιοι χρησμοί, ἐπειδὴ πρὸς ὠφέλειαν πάσης τῆς ἀνθρωπότητος ἐρρέθησαν καὶ ἐγράφησαν, καὶ τῇ σαφηνείᾳ ἐκράθησαν, ὥστε πάντες οἱ γεωργίαις καὶ τέχναις καὶ ταῖς ἄλλαις ἀσχολίαις τοῦ βίου σχολάζοντες ὠφελοῦνται ἐκ τῆς σαφηνείας· καὶ τὸ πρέπον, καὶ τὸ δίκαιον, καὶ τὸ συμφέρον ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ μανθάνοντες. Εἰς τοιαύτην γὰρ συντομίαν ἡ θεία συνετμήθη παίδευσις, ὡς τὸ ἑκάστου βούλημα ὅρον εἶναι τῆς ἀρετῆς ἀποφήνασθαι· «Πάντα γάρ, φησίν, ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ Προφῆται». Τί πρὸς ταύτην τὴν ἀρετὴν καὶ τὴν συντομίαν καὶ τὴν σαφήνειαν οἱ Πλατωνικοὶ διάλογοι, ἢ ἡ ὁμηρικὴ βίβλος, ἢ οἱ τῶν νομοθετῶν κώδικες κτλ. κτλ. Κρινάτωσαν ὀρθῶς οἱ χλευάζοντες τὴν ἰδιωτείαν τῶν ῥημάτων, καὶ τὴν ψῆφον ἀδέκαστον οἴσουσι κτλ. Συγκρινέτωσαν τοίνυν τοῖς λεγομένοις σοφοῖς τὴν τῶν θείων λογίων σαφήνειαν, καὶ παυέσθωσαν φλυαροῦντες καὶ τὴν θείαν τῶν χρησμῶν φράσιν ἀποδεχόμενοι, οὐ πρὸς φιλοτιμίαν, ἀλλὰ πρὸς ὠφέλειαν τῶν ἀκουόντων βλέψασαν (Αὐτόθ. ΟΗ', 1152-1153).

*Γραφῆς* ἰδιώματα καὶ ἑρμηνεία χωρίων ἐξ ἄλλων χωρίων, εἰς τὸ «Δέδωκεν αὐτοῖς ὁ ὁ Θεὸς πνεῦμα κατανύξεως» (Ῥωμ. ια', 8) (Αὐτόθ. ΟΗ', 1165-1169). Χρὴ δὲ εἰδέναι, ὅτι οὐ πάντως τὰ αὐτὰ ὀνόματα ἢ ῥήματα τὸ αὐτὸ παρίστησι νόημα κ. ἑ. (Αὐτόθ.).

***Γραφῆς*** ἰδιώματα εἰς τὰς λέξεις. Ὅρα δὲ μήποτε περὶ ἓν στοιχεῖον ἢ μίαν κεραίαν γέγονε τὸ σφάλμα· χωρία εἰς σαφήνειαν ἐν τῷ κωλυόντων γαμεῖν (Αὐτόθ. ΟΗ', 1177-1188 καὶ 1217).

Εἰ τοίνυν τὸ σέλας μὴ φέρων τῶν θείων Γραφῶν, ὥσπερ οἱ ὀφθαλμιῶντες τὸν ἥλιον, οὔτ' αὐτὸς ἀναγινώσκεις, οὔτε τοὺς σαυτοῦ υἱεῖς συγχωρεῖς, κἂν ταῦτα καὶ σαυτὸν καὶ τοὺς σαυτοῦ παῖδας φέρειν ἐπὶ μνήμης ἔθιζε. Πιστεύω γάρ, ὅτι κινήσουσιν ὑμᾶς καὶ θείοις λόγοις ἐντυχεῖν (Αὐτόθ. ΟΗ', 1288). Μὴ καταφρόνει, ὦ φίλος, τῆς μελισταγοῦς ἀκροάσεως τῶν θείων Γραφῶν κ. ἑ. (Αὐτόθ. 1301).

Πηγαὶ λόγων ἡσυχάζουσαι ψυχὴν ἐθέλουσαν ἀρδεύεσθαι μαραίνουσιν αἱ θεόπνευστοι Γραφαί, ἐκείνας, ἐλλογιμώτατε, μάλιστα ἀναμοχλεύειν σοι παραινῶ τὰς πλουσίοις καὶ ἀενάοις νάμασι κομώσας, καὶ μὴ τὰς ἀρδείας ἑτέρωθεν δεομένας (Αὐτόθ. ΟΗ', 1316).

Λίαν θαυμάζω τὴν τῶν πολλῶν ῥαθυμίαν, ὅτι οἱ μὲν γενναῖοι καὶ θαυμαστοὶ ἄνδρες τοὺς πόνους τοὺς ὑπὲρ τῆς ἀρετῆς προθύμως ὑπομένουσιν, οὗτοι δὲ οὐδὲ τοὺς λόγους, ἐξ ὧν οἱ τῆς ἀρετῆς εἰώθασι φύεσθαι πόνοι, ἀκούειν ἀνέχονται κ. ἑ.—ἐκ τῆς τῶν Γραφῶν ἀναγνώσεως γὰρ καὶ ἡ γνῶσις τίκτεται (Αὐτόθ. 1349).

Οἱ πειρώμενοι Γραφὰς τὰς θείας ἑρμηνεύειν σοφωτέρους ἑαυτοὺς ἡγούμενοι, εἰς ἅπερ βούλονται μετακομίζοντες τὰ θεῖα λόγια, πολλὰ σφάλλουσι τοὺς ἀκούοντας κ. ἑ. (Αὐτόθ. 1192).

Πολλοὶ τῶν ἀνθρώπων, οὐ μόνον τῶν ἐν τοῖς ἔξωθεν ἀγῶσιν ἁμιλλωμένων, ἀλλὰ καὶ τῶν τὰς θείας ἑρμηνεύειν πειρωμένων Γραφὰς οὐχ ὁμοίως ἀκροατὰς παρέχοντες ἑαυτούς, πολλῶν καὶ ποικίλων κακῶν αἴτιοι γίνονται· οἱ μὲν γὰρ τῆς ἀληθείας μηδὲν φροντίζοντες πρὸς χάριν τῶν λεγόντων κροτοῦσιν, ὥσπερ ἡνιόχων ἢ ὀρχηστῶν τυγχάνοντες ἐρασταί· οἱ δὲ πρὸς ἔχθραν συρίττουσι κ. ἑ. Περὶ ἑρμηνευτῶν καὶ ἱεροκηρύκων (Αὐτόθ. 1212-1213).

Τὴν ἀνάγνωσιν τῶν ἱερῶν Γραφῶν ἐφόδιον ἡγοῦ τῆς σωτηρίας, τρέφουσαν παραδείγμασιν εὐδοκίμοις τὸ φιλόκαλον καὶ ἀνθῶδες τῶν μετὰ σπουδῆς ἀκροωμένων (Αὐτόθ. 516). Ἐπειδὴ δέ, ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, τί οὖν ποιητέον; φήσαιμι, ὅτι τὸ κάτοπτρον τὸ πνευματικὸν συνεχῶς μεταχειριστέον· φημὶ δὴ τὰς θείας Γραφάς, ἐν αἷς καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἐστιν ἡ ἱστορία, καὶ οἱ παρὰ τοῦ Θεοῦ τεθέντες σωτηριώδεις νόμοι. Τοῦτο γὰρ τὸ κάτοπτρον οὐ δείκνυσι τὴν ἀμορφίαν μόνον, ἀλλὰ καὶ μετατίθησιν, ἂν ἐθέλωμεν, εἰς κάλλος ἀμήχανον (Αὐτόθ. 577). Ὅτι δὲ ταῦτα οὕτως ἔχει, τὸν κανόνα τῆς ἀληθείας, τὰς θείας Γραφάς, κατοπτεύσωμεν κ. ἑ. (Αὐτόθ. 1185-1188).

Τὸ τὴν ἀνάγνωσιν καταρρυθμεῖσθαι τῶν θείων Γραφῶν καὶ τὸ ἕκαστον τὰ οἰκεῖα πάθη τῶν θείων προκρίνειν χρησμῶν, τῶν τοσούτων τραγῳδιῶν αἴτιον γέγονεν. Πόλεμος γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ἐμπέπτωκε τοῖς τῆς εἰρήνης βραβευταῖς· ἥδιστα ἂν ἀλλήλων, εἰ ἠδύναντο, γεύσοιντο· περὶ παντὸς δὲ ποιήσαιντο ζῶντας μὲν ἀποκτεῖναι, ταφέντας δὲ ἀνορύξαι, τὰς δὲ οἰκίας κατασκάψαι, μνημεῖον δὲ ἅπαν ἀφανίσαι. Οὕτως κατ' ἀλλήλων ὁπλίζονται, καὶ μηχανὰς πλέκουσιν οἱ μεμαθηκότες, ὅτι οὐκ ἀπὸ τῶν σημείων ὁ Χριστός, ἀλλ' ἀπὸ τῆς ἀγάπης τοὺς οἰκείους ἐχαρακτήρισε φοιτητὰς κ. ἑ. (Αὐτόθ. 1216).

Χάρις τῶν θείων Γραφῶν καὶ ὠφέλεια. Τῶν μὲν ἔξωθεν πολλοὶ πολλὰ γεγράφασιν, ἃ μήτε τοῖς πεισθεῖσιν ὠφέλειαν, μήτε τοῖς ἀνηκόοις ζημίαν φέρει. Αἱ δὲ θεῖαι Γραφαὶ τοῖς μὲν πεισθεῖσι μέγιστον κέρδος, τοῖς δὲ ἀπειθήσασιν οὐ μικρὰν ὠδίνουσι βλάβην. Οἱ μὲν γὰρ δόξαν θηρώμενοι γεγράφασιν· οἱ δὲ πρὸς σωτηρίαν τῶν ἀκουόντων ὁρῶσιν (Αὐτόθ. ΟΗ', 1152-1153, 1220).

*Γραφαὶ* αἱ θεῖαι ὁδηγοῦσι πάντα βουλόμενον, ἵνα γνῷ τὸ δέον. Αὐτοὶ οἱ τῆς ἀρετῆς καὶ τῆς κακίας αὐχοῦντες εἶναι διαιτηταὶ τὴν νικῶσαν ψῆφον δέον τῇ ἀρετῇ δοῦναι, τῇ κακίᾳ παρέχονται κ. ἑ. Παραίνεσις μετ' ἀγανακτήσεως (Αὐτόθ. ΟΗ', 1400—1404).

Τῆς θείας σοφίας ἡ μὲν λέξις πεζή, ἡ δὲ ἔννοια οὐρανομήκης· τῆς δὲ ἔξωθεν λαμπρὰ μὲν ἡ φράσις, χαμαιπετὴς δὲ ἡ πρᾶξις. Εἰ δέ τις δυνηθείη τῆς μὲν ἔχειν τὴν ἔννοιαν, τῆς δὲ τὴν φράσιν, σοφώτατος ἂν δικαίως κριθείη· δύναται γὰρ ὄργανον εἶναι τῆς ὑπερκοσμίου σοφίας ἡ εὐγλωττία, εἰ καθάπερ σῶμα ψυχῇ ὑποκέοιτο, ἢ ὥσπερ λύρα λυρῳδῷ, μηδὲν μὲν οἴκοθεν καινοτομοῦσα νεώτερον, ἑρμηνεύουσα δὲ τὰ οὐρανομήκη ἐκείνης νοήματα· εἰ δὲ ἀντιστρέφει τὴν τάξιν, καὶ δουλεύειν ὀφείλουσα, ἡγεῖσθαι, μᾶλλον δὲ τυραννεῖν οἵα τε εἶναι νομίζοι, ἐξοστρακισθῆναι ἂν εἴη δικαία (Αὐτόθ. ΟΗ', 1500 κ. ἑ.).

*Γραφῶν* θείων διαστροφή.

Εἰ καὶ πολλά, ὡς ἔφης, ῥήματα τῶν ἱερῶν λογίων πρὸς ὅπερ ἄν τις θέλῃ παρακρουόμενος, ἕλκειν καὶ βιάζεσθαι ῥᾴδιόν ἐστιν· ἀλλ' ἡ ἀλήθεια πάντων τῶν κακούργως αὐτὰ ἢ παραποιῆσαι ἢ παρερμηνεῦσαι τολμησάντων καὶ περιγέγονε, καὶ περιγίνεται, καὶ περιέσται (Αὐτόθ. ΟΗ', 1508, 1516).

Εἰ μὲν πάντες οἱ ταῖς Γραφαῖς ὡμιληκότες πρὸς τὴν ἐκείνων εἰσήγησιν κατεστήσαντο τὸν βίον, εἶχέ σοί τινα λόγον ὁ λόγος· οἱ δὲ πολλοί, οὓς οἶδα ἐγώ, ἴσως δὲ καὶ αὐτός, τὰς παραινέσεις ᾄδοντες, ἐν μέσῳ ἐκθειάζοντες, πᾶν τοὐναντίον λάθρα τολμῶντες, οὐ διὰ τοῦτο τὰς Γραφὰς γραψόμεθα. Ἔφησαν μὴ ἀδικεῖν, καὶ πολλοὶ ἀδικοῦσιν. Τί τοῦτο πρὸς αὐτάς; κ. ἑ. (Αὐτόθ. 1508, 1516).

## Ἐκ τῶν τοῦ Νείλου Ἀββᾶ.

*Γραφὰς* τὰς σεπτὰς ἐπειδὴ ποθεινῶς ἀναγινώσκεις, οἶσθα κ. ἑ. (ΟΘ', 109). Γραφὴ ἡ θεόπνευστος οὐδὲν λέγει ἀκαίρως, ἀλλὰ καὶ

λίαν εὐκαίρως τε καὶ εὐστόχως· ἢ δοκεῖτε, κατὰ τὸν θεῖον Ἰάκωβον, ὅτι κενῶς λέγει ἡ Γραφή· «Πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκησεν ἐν ἡμῖν ;» (Ἰακωβ. δ', 5) (ΟΘ', 141, 213). Γραφὴ ἡ θεία πολλὰ καὶ τῶν ἀψύχων προσωποποιεῖν οἶδεν (Αὐτόθ. ΟΘ', 112).

Τῆν ἁγίων Γραφῶν ἡ διήγησις πέπλον ὑπάρχει χρυσοῦν κ. ἑ. (ΟΘ', 356).

Ἐν γὰρ τοῖς ῥήμασι τῆς θεοπνεύστου Γραφῆς ἐγκέκρυπται ἡ βασιλεία τῶν οὐρανῶν (ΟΘ', 529).

***Γραφὴ*** θεία μελισσουργεῖον· μέλισσαι δὲ οἱ Προφῆται (ΟΘ', 180, 213).

Ψιλὸν τὸ γράμμα τῆς θείας Γραφῆς κηρίον ἂν λέγοιτο. Ὁ δέ γε ἐν τῷ γράμματι τεθησαυρισμένος νοῦς μέλι τροπικῶς ῥηθήσεται (ΟΘ', 180).

Ἀνάγνωσις δὲ καὶ προσευχὴ καλὰ τῶν εἰρημένων οὐχ ἥκιστα, ἀλλὰ καὶ μᾶλλον καλὰ καὶ μεγάλα κ. ἑ. — κοιταζόμενος καὶ ἀνιστάμενος (ΟΘ', 825).

Τέχνης μὲν ἁπάσης τὰ τεχνητὰ κρίνοντες ἄπειροι, σφόδρα σφάλλονται περὶ τὴν κρίσιν εἰκότως· λόγοις δὲ δικάζοντες οἱ τούτων ἀμύητοι, πλημμελῆ κατ' αὐτῶν τὴν κρίσιν ἐκφέρουσιν, οὐκ εἰδότες ἑκάστου τὴν ἀκριβῆ παρατήρησιν· ὅτι μὴ ταῖς κατὰ μέρος αὐτοῖς γυμνασίαις εἰς ἕξιν ἡ ἐπιστήμη προέκοψεν (Αὐτόθ. ΟΘ', 1061).

## Ἐκ τῶν τοῦ Θεοδωρήτου Κύρρου.

***Γραφῶν*** ἑρμηνεία, καὶ αἰτία ἀσαφείας ἐξ ἑτέρας γλώσσης εἰς ἑτέραν (Π', 529).

***Γραφῶν*** ἑρμηνευταὶ τίνες καὶ πόσοι καὶ πότε ; (ΠΑ', 28. ΠΔ', 28 κ. ἑ.).

Ἡ τῶν θείων λογίων ἐξήγησις δεῖται μὲν ψυχῆς κεκαθαρμένης καὶ ῥύπου παντὸς ἀπηλλαγμένης, δεῖται δὲ καὶ διανοίας ἐπτερωμένης καὶ καθαρᾶς τὰ θεῖα δυναμένης, κατατολμώσης τῶν ἀδύτων τοῦ Πνεύματος· χρῄζει δὲ καὶ γλώσσης ὑπουργούσης τῇ διανοίᾳ καὶ τὴν ἐκείνης θεωρίαν ἀξίως ἑρμηνευούσης. Ἐμοὶ δὲ κ. ἑ. (ΠΑ', 28).

Γλυκὺ μὲν τὸ μέλι πᾶσιν ἀνθρώποις εἶναι δοκεῖ καὶ συγκρίσεως δίχα· γλυκύτερον δὲ φαίνεται πικρᾶς τινος παρατεθείσης ποιότητος κ. ἑ. — καὶ ὑγιείας ἄκρας, καὶ νόσου χαλεπωτάτης (Αὐτόθ. ΠΓ', 441).

Μέγιστον μὲν γὰρ καὶ παμμέγιστον ἀγαθὸν ἀληθῶς τῶν θείων ἡ γνῶσις· ἀλλ' οὐκ ἀπόχρη τέλειον ἀποφῆναι τὸν ταύτης ἀξιούμενον. Δεῖ γάρ που καὶ ἀγαθὴν πρᾶξιν συναφθῆναι τῇ γνώσει. Ὅπερ γάρ ἐστι δένδρῳ ῥίζα καὶ ὀφθαλμὸς σώματι, τοῦτο καὶ ταῖς ψυχαῖς τῆς ἀληθείας ἡ γνῶσις. — Χρὴ δὲ οὐ μόνον εἰδέναι τί προσήκει περὶ τοῦ θείου δοξάζειν, ἀλλὰ καὶ κατὰ τοὺς ἐκείνου πολιτεύεσθαι νόμους κ. ἑ. — ἴσῳ γε σκοπῷ παραβαίνουσιν ἅπαντες (Αὐτόθ. ΠΓ', 1124).

***Γραφὴ*** ἡ θεία τὰ μὲν θεολογικῶς, τὰ δὲ οἰκονομικῶς λέγει (ΠΓ', κ. ἑ.).

***Γραφὴ*** ἡ θεόπνευστος ἐργαστήριόν ἐστι πᾶσιν ἀνθρώποις, καὶ διδάσκαλος τῶν σωτηρίων τεχνῶν κ. ἑ. (Βασίλ. Σελευκ. ΠΕ', 181 κ. ἑ.). Ἡ τῶν ἀρετῶν διδάσκαλος, οὐ μόνον καταλέγει τῶν δικαίων τὰ κατορθώματα, ἀλλὰ στηλιτεύει αὐτῶν πολλάκις καὶ τὰ πταίσματα (Αὐτόθ. ΠΕ', 216 κ. ἑ.).

***Γραφῶν*** πολυπραγμοσύνη.

Ὅτι οὐ δεῖ ἐκ τῆς ἔξωθεν ἀκριβολέκτου κυριότητος κρίνειν τὰς τῶν ἁπλῶν καὶ ἀγραμμάτων ἁλιέων συγγραφάς· ἐκ τούτων γὰρ πᾶσα, ὡς εἰπεῖν, αἵρεσις γεννᾶται, κατὰ κυριολεξίαν ἐπί τινων λόγων τὰς Γραφὰς πολυπραγμονεῖν ζητούντων (Ἀμμών. Ἀλεξ. ΠΕ', 1589 - 1600).

***Γραφῆς*** θείας διηγουμένης χρηστὰ καὶ φαῦλα, τοῖς μὲν πρὸς ἔπαινον, τοῖς δὲ πρὸς ψόγον (Γεννάδ. Α', Π. Κ/πόλεως ΠΕ', 1648).

Θεὸς ἔστω ἡμῖν παντὸς ἔργου καὶ λόγου προοίμιον· ἀρχὴ γὰρ αὕτη πασῶν ἀσφαλεστάτη, καὶ οἱ ταύτης ἐχόμενοι πρὸς λιμένα καταντῶσιν ἀναπαύσεως (Λεόντ. Βυζάντ. ΠϚ', 2017).

***Γραφαὶ*** θεῖαι Παλαιὰ καὶ Νέα.

Παλαιὰν δὲ λέγομεν Γραφὴν τὴν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ· Νέαν δὲ Γραφὴν τὴν μετὰ τὴν παρουσίαν τοῦ Χριστοῦ.

Τῆς μὲν οὖν Παλαιᾶς βιβλία εἰσὶν κβ',

ὧν τὰ μέν εἰσιν ἱστορικά· τὰ δὲ παραινετικά· τὰ δὲ προφητικά· τὰ δὲ πρὸς τὸ ψάλλειν γενόμενα κ. ἑ. Τὰ τοίνυν ἱστορικὰ βιβλία εἰσὶ ιβ', διαλαμβάνει δὲ ἕκαστον κ. ἑ. Προφητικὰ δέ εἰσι πέντε κ. ἑ. Παραινετικὰ δέ εἰσι βιβλία τέσσαρα. Μετὰ ταῦτά ἐστι τὸ Ψαλτήριον. Καὶ ταῦτα μέν εἰσι τὰ κβ' βιβλία τῆς Παλαιᾶς.

Τῆς δὲ Νέας ἓξ εἰσὶ βιβλία· ὧν δύο περιέχει τοὺς τέσσαρας Εὐαγγελιστάς· τρίτον ἐστὶν αἱ Πράξεις τῶν Ἀποστόλων· τέταρτον, αἱ Καθολικαὶ Ἐπιστολαί· Καθολικαὶ δὲ ἐκλήθησαν, ἐπειδὴ οὐ πρὸς ἓν ἔθνος ἐγράφησαν, ὡς αἱ τοῦ Παύλου, ἀλλὰ καθόλου πρὸς πάντα. Πέμπτον βιβλίον αἱ ιδ' τοῦ Ἀποστόλου Παύλου ἐπιστολαί. Ἕκτον ἐστὶν ἡ Ἀποκάλυψις τοῦ Ἀποστόλου Ἰωάννου τοῦ Εὐαγγελιστοῦ. Ταῦτά ἐστι τὰ κανονιζόμενα βιβλία ἐν τῇ Ἐκκλησίᾳ καὶ τῆς Παλαιᾶς καὶ τῆς Νέας· ὧν πάντα τὰ τῆς Παλαιᾶς δέχονται οἱ Ἑβραῖοι (Λεόντ. Βυζάντ. ΠϚ', 1200 - 1204).

Ὅσοι τῆς ὄντως πάνυ πως ἀγχιθέου καὶ θεοφιλοῦς ἀθανασίας εἰσὶν ἐρασταὶ τῆς τε οὐρανίου καὶ θεοπρεποῦς πολιτείας λειτουργοὶ τυγχάνουσιν, οὗτοι κ. ἑ. — κατὰ μικρὸν τὴν ψυχὴν ἐξασκοῦσά τε καὶ ἀναβιβάζουσα (Εὐθάλ. Διάκ. ΠΕ', 628).

Μόνος ἐν ἀνθρώποις τέλειος ἄνθρωπος ὁ τῆς δικαιοσύνης περὶ πολλοῦ τιθέμενος κτῆμα. Ἀεὶ φῶς ἦν τοῖς δικαιοπραγοῦσι, τὸ τῆς δικαιοσύνης κτῆμα, κατὰ τὸ φάσκον θεῖον ῥητόν· «Φῶς δικαίοις διὰ παντός» κ. ἑ.— καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος (Τιμόθ. Πρεσβύτερος ΠϚ', 237).

Δεῖ τὸν προσιόντα τῇ θείᾳ Γραφῇ, μὴ ὡς ἀνθρώπων εἰπόντων, ἀλλ' ὡς Θεοῦ δι' αὐτῶν φθεγξαμένου τῶν εἰρημένων ἀκούειν κ. ἑ. (Προκόπ. Γαζ. ΠΖ', 24 κ. ἑ.). Ὁρᾷ γὰρ ἡ Γραφὴ οὐ πρὸς ἀκριβῆ γνῶσιν μᾶλλον ἢ θεοσέβειαν· ὡς καλῶς ἔχειν τὴν τοῦ Σιρὰχ παραίνεσιν· «Ἐν τοῖς περισσοῖς τῶν ἔργων σου μὴ περιεργάζου κ. ἑ.». Καὶ ἡ τοῦ Ἐκκλησιαστοῦ· «Μὴ σοφίζου περιττά, μή ποτε ἐκπλαγῇς» (Αὐτόθ. 25 - 28).

Μυστήριον βασιλέως κρύπτειν καλόν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν ἔνδοξον· οὕτω γὰρ εἶπεν ὁ ἄγγελος τῷ Τωβὶτ κ. ἑ. — τῷ μεγέθει πλαττόμενος κ. ἑ. (Σωφρόν. Ἱεροσ. ΠΖ', 3697 μέρ. Γ').

Εὖ εἰδώς, ὦ φίλε Πέτρε, δυσάρεστον εἶναι τὸ τῶν ἀνθρώπων γένος, ὄκνῳ πολλῷ κατειχόμην ἐπὶ τῇ ὑμετέρᾳ κελεύσει. Οἱ μὲν γὰρ τῶν ἀνθρώπων αὐτὸ τοῦτο τὸ συγγράφειν τι ἐθέλοντας ψέγουσιν, ὡς εἰς πράγματα καθιέντας ἑαυτούς, ἐξὸν αὐτοῖς ἀπηλλάχθαι καμάτου, καὶ ἡσύχου διατριβῆς ἀπολαύειν· οἱ δέ, καὶ τὰ ἐπίπονα ὡς μηδὲν λογιζόμενοι, τὴν γραφὴν ἐν τῷ κρυπτῷ θέντες ἠρεμοῦσιν. Ἕτεροι δὲ πόθῳ μὲν ἄρχονται τῆς ἀναγνώσεως, εἶτα κατολιγωρήσαντες τῶν τετραπόδων τὸ μέτρον ποιοῦνται. Οἱ δὲ καὶ ἐν λόγῳ ὄντες τὸ χεῖρον ποιοῦσι· πανευδοκιμεῖσθαι γὰρ ἡγούμενοι τῇ τῶν νέων συγγραφῇ, οὐδὲ προσέχειν αὐτῇ ἀξιοῦσιν, εἰ καὶ λίαν γενναίως συγγράφοιντο οἱ συγγραφόμενοι (Κοσμ. Ἰνδικοπλ. ΠΗ', 385).

## Ἐκ τῶν τοῦ Ἀναστασίου τοῦ Σιναΐτου.

*Γραφῶν* θείων οἱ ἐστερημένοι, ὥσπερ οἱ τοῦ φωτὸς ἐστερημένοι, οὐκ ἂν ὀρθῶς βαδίσαιεν· οὕτως οἱ τῶν θείων Γραφῶν ἐστερημένοι καὶ πρὸς τὴν ἀκτῖνα τούτων μὴ βλέποντες πολλὰ προσκόπτουσι, καὶ ἀναγκάζονται συνεχῶς ἁμαρτάνειν, ἅτε δὴ ἐν σκότει χαλεπῷ βαδίζοντες (ΠΗ', 1128).

*Γραφῆς* θείας τὰ σεσιωπημένα οὐ δεῖ ἡμᾶς περιεργάζεσθαι. Λέγω δὲ τὰ περὶ παραδείσου, καὶ τοῦ ξύλου τῆς γνώσεως, καὶ τῶν χιτώνων, καὶ ἑτέρων τινῶν τοιούτων, μὴ σαφῶς δεδηλωμένων ἡμῖν ἐν ταῖς βίβλοις ταῖς ἱεραῖς (ΠΘ', 93).

*Γραφῶν* καὶ Πατέρων κακοῦργος διαστροφὴ καὶ παρερμηνεία ὑπὸ τῶν αἱρετικῶν καὶ τῶν ἐναντίων (Αὐτόθ. ΠΘ', 284 - 309).

*Γραφὴ* ἡ εὐαγγελικὴ καὶ ἀποστολικὴ ἀνόθευτος, πῶς καὶ διὰ τί (Αὐτόθ. ΠΘ', 288 - 289).

*Γραφῶν* θείων ἡ ἀνάγνωσις ἀπόλυτος ἀνάγκη. Καὶ μέγα κακὸν ἀγνοεῖν Γραφάς· ἐκ

τε τῶν Γραφῶν καὶ τῶν Πατέρων (Αὐτόθ. ΠΘ', 672-684, 825). Γραφὴ θεία πρὸς ἐνέργειαν τῶν θείων ἐντολῶν ἡμᾶς προτρέπεται (Αὐτόθ. ΠΘ', 825 κ. ἑ.).

Δεῖ γὰρ τὸν ἀκροατὴν τοὺς παιδευομένους ταῖς Γραφαῖς δοκιμάζειν τὰ παρὰ τῶν διδασκάλων λεγόμενα, καὶ τὰ μὲν σύμφωνα ταῖς Γραφαῖς δέχεσθαι, τὰ δὲ ἀλλότρια ἀποβάλλεσθαι· καὶ τοὺς τοιούτοις ἐπιμένοντας διδάγμασιν ἀποςρέφεσθαι. Σφοδρότερον· «Οὐαὶ γάρ, φησί, τῷ ἀνθρώπῳ, δι' οὗ τὸ σκάνδαλον ἔρχεται» (ΠΘ', 608).

Γραμματέα λέγει τὸν διὰ τῆς ἐπιπόνου ἀναγνώσεως τῶν θείων Γραφῶν ἑαυτῷ θησαυρὸν γνώσεως ἀποθέμενον τῆς Παλαιᾶς καὶ Καινῆς Διαθήκης, καὶ ἐκβάλλων ἐξ ἑαυτοῦ ἐν καιρῷ διαλέξεως κ. ἑ. — ἐν γὰρ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν ἀναστρεφόμενοι διερευνῶσιν (Αὐτόθ. ΠΘ', 762).

Ἀεὶ μὲν ἡ τοῦ ἁγίου Πνεύματος χάρις διὰ πάσης τῆς τοῦ Θεοῦ Γραφῆς, πρὸς ἐργασίαν τῶν θείων αὐτοῦ ἐντολῶν ἡμᾶς προτρέπεται· μάλιστα δὲ ἡ διὰ τοῦ Προφήτου Δαβὶδ καθ' ἡμέραν ταῖς ψαλμῳδίαις μελῳδουμένη παραίνεσις· ἡ γὰρ τῶν Ψαλμῶν βίβλος θεοσέβειαν διδάσκει· εἰς Θεοῦ φόβον ὁδηγεῖ· περὶ κολάσεως διηγεῖται· περὶ πίστεως νομοθετεῖ· σωφροσύνην διδάσκει· περὶ κατανύξεως, περὶ ἐγκρατείας, περὶ μετανοίας, περὶ συμπαθείας, περὶ ἀγάπης Θεοῦ, περὶ ὑπομονῆς Θεοῦ, περὶ ἁγνείας, περὶ μακροθυμίας, περὶ νηστείας, περὶ εὐποιίας κ. ἑ. — ἀλλὰ σχεδὸν ἑαυτοὺς ἀγνοοῦμεν καὶ ἀπατῶμεν (Αὐτόθ. ΠΘ', 825).

### Ἐκ τῶν τοῦ Ἀντιόχου Μοναχοῦ.

Καλή ἐςιν ἡ παιδεία κατὰ πᾶσαν αἰτίαν, μάλιστα δὲ κατὰ Θεόν. Τὸν ἐκ νεαρᾶς γὰρ ἡλικίας ἐκφιλοσοφοῦντα καὶ παιδευόμενον παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου ἕως γήρως καὶ πρεσβείου οὐ μὴ ἐγκαταλίπῃ ὁ Θεὸς κ. ἑ. — ὁ φοβούμενος τὸν Κύριον ἐκδέξεται παιδείαν (ΠΘ', 1681), μετὰ Γραφικῶν χωρίων. Τὸ συμβουλεύεσθαι ἐν παντὶ πράγματι καλὸν καὶ θεάρεστόν ἐστιν. Οὐδεὶς γὰρ ὁ μὴ χρῄζων συμβούλου, εἰ μόνος ὁ Θεός, ὁ τὴν σοφίαν κτίσας κ. ἑ. — ὑπὸ τῶν πονηρῶν δαιμόνων, μετὰ Γραφικῶν χωρίων (ΠΘ', 1684).

Δέον ἐστὶ τὸν ἱερέα πρῶτον ὑπὲρ ἑαυτοῦ ἐξιλεώσασθαι τὸν Θεόν, καὶ οὕτως ὑπὲρ τοῦ λαοῦ κ. ἑ.—τότε λοιπὸν ἐξάρας Ἀαρὼν τὰς χεῖρας ηὐλόγησε τὸν λαόν (Αὐτόθ. ΠΘ', 1809 μετὰ Γραφικῶν χωρίων).

Ἔστι μὲν ἀρχιερωσύνη περιεκτικὴ κατὰ τὸν τῆς παραδόσεως λόγον τῶν κατὰ ταύτην ἱερῶν πραγμάτων ἁπάντων τάξιν ἔχουσα, τὴν πασῶν ὑψηλοτέραν κ. ἑ. Περὶ ἀρχιερωσύνης μετὰ Γραφικῶν χωρίων — εἰς περιποίησιν Θεοῦ (Αὐτόθ. ΠΘ', 1812).

Ἑπόμενόν ἐστι τοὺς ἱερεῖς μιμητὰς γενέσθαι τοῦ ἀρχιερέως αὐτῶν, ὡς κἀκεῖνοι τοῦ ἀρχιερέως Χριστοῦ κτλ. κτλ.— κατὰ τὸν Ἀπόστολον· μετὰ Γραφικῶν χωρίων (Αὐτόθ. ΠΘ', 1817. Περὶ ἱερέων).

Ὁ Θεοφόρος Ἰγνάτιος ἐπιστέλλει λέγων· «Τῷ ἐπισκόπῳ προσέχετε, ἵνα καὶ ὁ Θεὸς ὑμῖν» κ. ἑ. μετὰ Γραφικῶν χωρίων — διακονήσει αὐτοῖς (Αὐτόθ. ΠΘ', 1824).

Τοῦ Κυρίου καὶ Θεοῦ καλοῦντος ἡμᾶς διά τε Νόμου καὶ Προφητῶν καὶ Ἀποστόλων καὶ Εὐαγγελιςῶν, μᾶλλον δὲ καὶ παρακαλοῦντος, οὐ θεμιτὸν ἡμᾶς διὰ ῥαθυμίας καὶ χαυνότητος καταφρονεῖν τῆς ἐντολῆς αὐτοῦ καὶ ἀμελεῖν τῆς ἑαυτῶν σωτηρίας κ. ἑ. μετὰ Γραφικῶν χωρίων — ἐμπλησθήσεσθε (Αὐτόθ. ΠΘ', 1825).

Ὁ ἔχων τὸν φόβον τοῦ Θεοῦ ἐν ἀληθείᾳ ῥᾳδίως ἔρχεται εἰς τελείαν ἀγάπην τοῦ Θεοῦ, καὶ γίνεται μαθητὴς καὶ φίλος τοῦ Χριστοῦ κ. ἑ. μετὰ Γραφικῶν χωρίων — δεκτὸς αὐτῷ ἐστιν (Αὐτόθ. ΠΘ', 1829).

Προβήτω ὁ λόγος ἐκ τοῦ φόβου τοῦ Κυρίου ἐπὶ τὴν τελείαν ἀγάπην αὐτοῦ. Ἀγάπην δὲ λέγω κ. ἑ. μετὰ Γραφικῶν χωρίων —καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα (Αὐτόθ. ΠΘ', 1833).

Τὰς προλεχθείσας ἐντολὰς τοῦ Θεοῦ τηρήσαντες, ἐπὶ τὴν βασιλείαν τῶν οὐρανῶν ἐπανίωμεν, περὶ ἧς καὶ ὁ ἀγὼν πολύς, καὶ ἀπειροπλασίως ἡ ἀνάπαυσις. Εἰ γὰρ ὁ ὀρεγόμενος κ. ἑ. μετὰ Γραφικῶν χωρίων—δίκαιος ἐναργῶς (Αὐτόθ. ΠΘ', 1841).

Ὁμολογοῦμεν καὶ κηρύττομεν τὸν Κύριον

ἡμῶν Ἰησοῦν Χριστόν, τὸν μονογενῆ Υἱὸν καὶ Λόγον τοῦ Πατρός, Φῶς ἐκ Φωτὸς κ. ἑ. τὸ Σύμβολον τῆς Πίστεως ἡμῶν μετὰ Γραφικῶν χωρίων — τοὺς δὲ μὴ οὕτω φρονοῦντας κ. ἑ. (Αὐτόθ. ΠΘ', 1845).

## Ἐκ τῶν τοῦ Μαξίμου τοῦ Ὁμολογητοῦ.

Πῶς χρὴ ἀναγινώσκειν, ἢ ἀναγινώσκοντι προσέχειν (ϞΑ', 721). Ὅταν ταῖς θείαις βίβλοις προσομιλῇς, μὴ ἁπλῶς κ. ἑ. — τὰ θαυμάσια ἐκ τοῦ νόμου σου (Αὐτόθ. ϞΑ', 721).

Εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι μωρὸς γενέσθω, ἵνα γένηται σοφὸς κ. ἑ. — ὡς τῷ σώματι ἡ σκιά (Αὐτόθ. ϞΑ', 817 -821).

Πῖνε διδάγματα ἀπὸ τῶν θείων Γραφῶν, καὶ πόματα εὐσεβείας ἀπὸ φρεάτων τῆς συνοικισθείσης ἡμῖν ἀπ' ἀρχῆς παρὰ τοῦ Θεοῦ γνώσεως, πηγῆς προσαγορευομένης κ. ἑ. — τῶν χοιρώδη βίον ἐχόντων (Ὀλυμπιόδ. ϞΓ', 475).

## Ἐκ τῶν τοῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Περὶ τῶν ἁγίων Γραφῶν καὶ τῆς ὠφελείας ἐκ τῆς ἀναγνώσεως αὐτῶν. Καὶ περὶ τῶν βίβλων Παλαιᾶς καὶ Νέας Διαθήκης (ϞΔ', 1176-1180).

***Γραφῶν*** συλλαβὰς καὶ ὀνόματα οὐ χρὴ περισκοπεῖν ἢ διακόπτειν (Ἰωάνν. Δαμασκ. ϞϚ', 508-512.—Ἀν. Σιν. ΠΘ', 284-296).

Εἷς ἐστιν ὁ Θεὸς ὑπό τε τῆς Παλαιᾶς Διαθήκης καὶ Καινῆς κηρυττόμενος, ὁ ἐν Τριάδι ὑμνούμενος καὶ δοξαζόμενος κ. ἑ. — κτήσασθαι δυνηθείημεν (Αὐτόθ. ϞΔ', 1176 - 1177).

Τῆς θεοπνεύστου Γραφῆς ἡ ἄσκησις πλούτου, δόξης καὶ ἀρχῆς καὶ πάντων, ὅσα τὸ θνητὸν ἀσπάζεται γένος, ὑπερέχει, σωτηρίας ἡμῖν ἐφόδια χαριζομένη κ. ἑ.—Τὰ περὶ ἀρετῆς καὶ κακίας κ. ἑ. (Αὐτόθ. ϞΕ', 1041 κ.ἑ.).

Θήσατε τὰ ῥήματα ταῦτα ἐπὶ τῆς καρδίας ὑμῶν καὶ εἰς τὴν ψυχὴν ὑμῶν κ. ἑ.— διὰ τῆς ἐπιγνώσεως τῶν γραμμάτων (Αὐτόθ. ϞϚ', 12-16).

Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω· ᾐσχύνθησαν σοφοὶ καὶ ἐπορεύθησαν, καὶ ἑάλωσαν, ὅτι λόγον Κυρίου ἀπεδοκίμασαν κ. ἑ.—οὐ τοῖς κηρύσσουσιν (Αὐτόθ. ϞϚ', 340—344).

***Γραφῆς*** Παλαιᾶς μετάφρασις ἐκ τοῦ ἑβραϊκοῦ ὑπὸ τῶν Ο' (Χρον. Πασχάλ. ϞΒ', 425).

***Γραφῶν*** θείων ἔρευνα. Ἄμελγε γάλα, καὶ ἔσται σοι βούτυρον, φησί που τὸ παροιμιακὸν λόγιον. Τί τούτῳ φάσκον, ἢ δηλονότι τὴν ἐπιπόλαιον ἡμᾶς εἰσηγούμενον ἔννοιαν τῶν θείων Γραφῶν ἐρευνᾶν φιλοκάλως καὶ φιλοπόνως; κ. ἑ. (Γρηγ. Ἀκραγ. ϞΗ', 741—744).

Εἰσαγωγὴ εἰς τὰς θείας Γραφάς. Ἰδιώματα ἐν τῇ θείᾳ Γραφῇ καὶ ἑρμηνεία εἰς κατάληληψιν αὐτῶν (Ἀδριανὸς μοναχ. ϞΗ', 1272-1312).

Περὶ τῆς ὠφελείας τῶν θείων Γραφῶν ἐκ τῆς ἀναγνώσεως αὐτῶν (Παχώμ. μοναχ. ϞΗ', 1333-1360).

***Γραφῶν*** θείων ἀλήθεια.

Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. Ἐπ' αὐταῖς οὐκ ἔστι προσθεῖναι, καὶ ἀπ' αὐτῶν οὐκ ἔστιν ἀφελεῖν κ. ἑ. (Ταράσ. Π. Κ/πόλεως ϞΗ', 1452 κ. ἑ.). Ἤδη γὰρ τεθεμελίωται τὰ μαρτύρια τοῦ Θεοῦ, καὶ ἐρριζωμένα εἰσὶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ, κἂν προσκαίρως τινὲς ἀπειθοῦντες, οὐ φυλάττουσιν αὐτά. Ἐκεῖνα οὖν εἰς τὸν αἰῶνα μένουσι, καὶ μακάριοι οἱ ἐξερευνῶντες αὐτὰ καὶ τούτοις πειθόμενοι (Αὐτόθ. ϞΗ', 1456).

Σοφία δὲ οὐχ ἡ κομψείαν ῥημάτων προβαλλομένη καὶ πομφόλυγας διὰ κενῶν λαρυγγισμάτων ἐξερευγομένη, ἀλλ' ἡ τὸν λόγον εὐλόγως μετερχομένη κτλ. κτλ. — ἐν τοῖς τοιούτοις ἀναγκαίως ἀσπάζεσθαι (Γερμ. Α', Π. Κ/πόλεως ϞΗ', 89).

Οἷος ἂν ᾖ ἄνθρωπος παρὰ τὰ ἐν τῇ Γραφῇ τῇ θείᾳ κείμενα συμβουλεύων, ἀπὸ καρδίας λαλεῖ, καὶ ἐντάλματα ἀνθρώπων διηγεῖται κ. ἑ. — καὶ ἑαυτοῖς προσεχέτωσαν (Θεόδ. Στουδ. ϞΘ', 905).

***Γραφῶν*** συλλαβῆς παράλειψις, ἢ διαστο-

λῆς, οὐ τὴν τυχοῦσαν σύγχυσιν καὶ ταραχὴν τοῖς μηδὲν τούτων ἐπικοινωνοῦσιν εἰσάγει (Φώτ. ΡΑ΄, 89—96). Γραφῶν ἰδίωμα (Αὐτόθ. 396-404).

Περὶ τῶν χρήσεων τῶν ἔξω ἐν τῇ ἡμετέρᾳ Γραφῇ εὑρισκομένων (Φώτ. ΡΑ΄, 813). Γραφῶν ἀσάφεια τί ἐστι, καὶ διὰ τί (Φώτ. ΡΑ΄, 816-820). Γραφῆς ἐκδόσεις πόσαι ἐγένοντο (Αὐτόθ. 820). Γραφῆς ῥητὰ μαχόμενα, πῶς; (Αὐτόθ. 936).

*Γραφὰς* οὐ δεῖ κόπτειν, μηδὲ ἐκ μέρους τὰ συγγράμματα κρίνειν κ. ἑ. (Φώτ. ΡΓ΄, 941—949).

Ἐκ τοῦ ἀγνοεῖν ἡμᾶς τὰς θείας Γραφὰς ἐμπίπτομεν εἰς τὰς παγίδας τοῦ διαβόλου καὶ τῇ ἀπωλείᾳ παραδιδόμεθα — ὁ δὲ ψευδοδιδάσκαλος καὶ ψευδοπροφήτης γνωρίζεται ἐκ τοῦ μὴ διδάσκειν ἐκ τῶν θείων Γραφῶν, ἀλλ' ἐκ τῆς ἑαυτοῦ καρδίας πρὸς τὰς ἑκάστου ἐπιθυμίας (Ἀνωνύμου, Ἑρμηνεία τῶν θείων ἐντολῶν ΡϚ΄, 1360).

Ἔρρει τὰ σεμνὰ τῷ χρόνῳ τῷ παμφάγῳ,
Διέφθορε τὰ χρηστὰ καὶ τίμια,
Ὄλωλεν ἡ παίδευσις (Εὐαγγελίου), ἔσβη καὶ λόγος,
Φροῦδος δὲ καὶ νοῦς, οἴχεται θεωρία,
Λέλοιπεν εὐσέβεια καὶ τελεστική·
Θέμις δ' ἀπέστη, καὶ δίκη, καὶ πᾶν καλόν.
Παρρησιάζεται δὲ νῦν πανουργία,
Καὶ ψεῦδος ἄρχει, καὶ τυραννίς, καὶ βία.
Ἕρπει δὲ πρὸς πᾶν θεῖον ἔργον ὁ φθόνος.
Τῆς δυσσεβείας ἠνέῳκται τὸ στόμα,
Ῥοιβδεῖ δὲ χανδὸν ἡ Χάρυβδις τῆς πλάνης,
Ἐμεῖ δὲ πᾶς τις δόγματα βλασφημίας.
(Λέων ὁ Σοφὸς ΡΖ΄, 664).

Ζηλώσωμεν, ἀγαπητοί, τοὺς τῆς ἀρετῆς ἐργάτας, τὴν τῶν πονηρῶν μίμησιν φύγωμεν· ὡς γὰρ πολλὴ καὶ ἄφατος ἡ τῆς ἀρετῆς ἰσχύς, οὕτω μέγα καὶ πολὺ τὸ τῆς κακίας σαθρὸν δείκνυται πολλαχόθεν. Ὅσῳ δέ τις τιμᾷ φιλοσοφίαν, τοσούτῳ μᾶλλον ἰσχυρὸς γίνεται, καὶ πάντων ἀνώτερος· ὥσπερ τοὐναντίον κ. ἑ. — καὶ τῆς ἐκεῖ μετάσχωμεν δόξης (Θεόδ. Μελιτ. ΡΜΘ΄, 884—892).

Ἡμῖν δὲ δείκνυσι μάλιστα πάντων ἀνθρώπων ὁ Ἰωάννης, τοιοῦτος ὢν κατὰ τὴν δεσποτικὴν ἀπόφασιν, τί ποτέ ἐστιν ἄνθρωπος καὶ ὅση τῆς ἡμετέρας φύσεως ἡ εὐγένεια, καὶ ὅσης ἐστὶν ἀρετῆς δεκτικὸν τουτὶ τὸ ζῷον. Ἵσταται γὰρ ὁ Ἰωάννης κ. ἑ.— —μετὰ τῆς ἡδονῆς ἔχουσαν τὸ κέρδος (Αὐτόθ. ΡΜΘ΄, 892).

Ἀκούσωμεν τοίνυν ὅσοι τῶν θεοπνεύστων Γραφῶν ἀμελοῦμεν, ὅσην ὑπομένομεν βλάβην, ὅσην πενίαν. Πότε γὰρ τῆς διὰ τῶν ἔργων ἐπιλαβώμεθα πολιτείας, οἱ μηδὲ αὐτοὺς τοὺς νόμους εἰδότες, καθ' οὓς πολιτεύεσθαι χρή; Ἀλλ' οἱ μὲν κ. ἑ. —ζωὴν κληρονομήσομεν τὴν αἰώνιον (Αὐτόθ. ΡΜΘ΄, 904—913).

Τὸ γὰρ τὴν Πατέρων πίστιν καὶ ὁμολογεῖν καὶ συγγράφειν τοῦτό ἐστι δι' ὃ πολλοὶ στεφανοῦνται. Εἰ δὲ ἐπὶ τούτοις οὔ φημι δίκαιον ἀξιοῦσθαι ἐπαίνων, καθότι ἄλλοι ἐκκεκοπιάκασι, κἀγὼ εἰς τὸν κόπον αὐτῶν εἰσελήλυθα, πολλῷ μᾶλλον οὐδὲ μέμψεως. Ἑκάτερον γὰρ ἐπὶ τὴν διδασκαλίαν τῆς Γραφῆς καὶ τῶν ἁγίων ἀναδραμεῖται. Τὰ αὐτὰ γὰρ πάλιν ἐρῶ, ὡς οὐδὲν ἀπ' ἐμαυτοῦ ἴδιον εἶπον, ἀλλὰ τὰ παρὰ τῆς ἁγίας Γραφῆς καὶ τῶν διδασκάλων τῆς τοῦ Θεοῦ Ἐκκλησίας περὶ τῆς ὑγιοῦς τῶν Χριστιανῶν πίστεως διδασκόμενα· ταῦτα ἐξελεξάμεθα, ἃ καὶ διὰ τὴν σαφήνειαν ἰδιωτικῶς καὶ κεφαλαιωδῶς κατὰ τὸ δυνατὸν ἐν τῷ παρόντι σχεδιάσαντες ἐξεθέμεθα (Μαν. Καλέκ. ΡΝΒ΄, 661).

Ἁγία τοῦ Χριστοῦ Ἐκκλησία ἐστί, κατὰ τὰ θεοπαράδοτα λόγια, σύναξις ἱερὰ οὐ μόνον ἐκ πλειόνων καὶ μακαρίων ἀνδρῶν, ἀλλὰ καὶ ἐξ ἐλαττόνων ἐπὶ τῷ ὀνόματι τοῦ ἀληθινοῦ Φωτός, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, συνελθοῦσα. Ὁ γὰρ κ. ἑ. — πραότης ἐγκράτεια (Ἰωάνν. Κυπαρισσ. ΡΝΒ΄, 701—704).

Σκοπὸς ἡμῖν ἐστιν αὐτοσχεδιάζουσιν ἐν τῷ τὰς ἱερὰς Δαβιδικὰς φωνὰς ἀναξαίνειν, ὡς ἀρωματικήν τινα θυμιαμάτων εὐωδίαν ἀνασκάλλουσι καὶ ψυχὴν καὶ διάνοιαν καὶ πᾶσιν εὐφραινομένοις αἴσθησιν κ. ἑ.—καὶ ἡμεῖς ἠρκέσθημεν (Ἰωβ ΡΝΗ΄, 1053-1056).

*Γραφῶν* θείων ἡ ἀνάγνωσις ἀναγκαιοτάτη εἰς πάντα Χριστιανόν· πολλῷ μᾶλλον εἰς ἄρχοντας καὶ ἡγεμόνας (Θέατρ. Πολιτ. σελ. 299-319).

*Γραφὴ* ὑπεύθυνος κ. ἑ. (Θεοδώρ. ΠΔ΄, 921).

*Γραφικῆς* ἄπειροι (ΠΕ΄, 932).

*Γραφαὶ* ἐπὶ σανίσιν ἢ ξύλοις. Τὰ τῶν ἄλλων στρατιωτῶν ὀνόματα ἐπὶ σανίδος ἀπεγράφετο· λέγεται δὲ παρὰ Ῥωμαίοις ματρίκιον τὸ πλατὺ καὶ παχὺ ξύλον. Οἱ γὰρ ἀρχαῖοι ξύλοις καὶ φλοιοῖς καὶ φιλυρίνοις πίναξι πρὸς γραφὴν ἐκέχρηντο. Ὅθεν ἔτι καὶ νῦν πρὸ τῶν ὑπάτων ἐπιφέρεται ὁ λεγόμενος τοῦ Πραίτωρος σκρίβας. Χρόνῳ δὲ ὕστερον ὁ Πτολεμαῖος, συμβουλεύοντος αὐτῷ Ἀριστάρχου τοῦ Γραμματικοῦ τὴν Ῥωμαίων ἀσπάσασθαι προστασίαν, πρῶτος χάρτην ἀποστείλας, τὴν Ῥώμην ἐξένισεν. Ἀντευδοκιμεῖται δ' ὅμως παρὰ τοῦ Περγαμηνοῦ Ἀττάλου, Κράτητος τοῦ Γραμματικοῦ ἡγησαμένου τῆς σπουδῆς πρὸς ἔριν Ἀριστάρχου τοῦ ἀντιτέχνου αὐτοῦ· δέρματα γὰρ ἐκ προβάτων ἀποξέσας εἰς λεπτόν, ἔστειλε τοῖς Ῥωμαίοις τὰ λεγόμενα παρ' αὐτοῖς μέμβρανα· εἰς μνήμην δὲ τοῦ ἀποστείλαντος ἔτι καὶ νῦν Ῥωμαῖοι τὰ μέμβρανα Περγαμηνὰ καλοῦσιν. Πτολεμαῖος δὲ ἐφεῦρε τὸν χάρτην (Ἰωάνν. Λυδ. αὐτόθ. σελ. 11).

*Γραφεῖα* καὶ γραφεῖς (γραμματικοὶ) καὶ ταχυγράφοι. Ἀριθμός, τάξις καὶ ὀνομασίαι αὐτῶν (Ἰωάνν. Λυδ. ἔκδ. Βόν., σελ. 198—200).

*Γράφειν*, κυρίως τὸ λίθοις ἢ ξύλοις ἐγχαράσσειν γράμματα, καὶ ἁπλῶς τὸ ξέειν ἢ ξύειν.

*Γράφειν*. Τὸ μὴ γράφειν, κατὰ Πλάτωνα, ἀλλ' ἐκμανθάνειν, μεγίστη φυλακή. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὰ γραφέντα μὴ οὐκ ἐκπεσεῖν (Κλήμ. Ἀλεξ. Θ', 100).

*Γράφειν*. Περὶ τῶν γραφόντων ἢ λεγόντων ἄνευ ἀνάγκης περὶ πίστεως. Εἰ μέν, μηδενὸς ὑποκειμένου, περὶ πίστεως γράφουσι, περιττὸν τὸ ἐπιχείρημα καὶ ἐπιβλαβές, ὅτι μηδεμιᾶς ζητήσεως οὔσης αὐτοῖς, πρόφασιν λογομαχίας παρέχουσιν (Ἀθαν. Κϛ', 1313).

Γράφειν πολλὰ πεζά τε καὶ ἔμμετρα.
Πολλοὺς ὁρῶν γράφοντας ἐν τῷ νῦν βίῳ
Λόγους ἀμέτρους καὶ ῥέοντας εὐκόλως,
Καὶ πλεῖστον ἐκτρίβοντας ἐν πόνοις χρόνον,
Ὧν κέρδος οὐδὲν ἢ κενὴ γλωσσαλγία·
Ἀλλ' οὖν γράφονται καὶ λίαν τυραννικῶς,
Ὡς μεστὰ πάντα τυγχάνει ληρημάτων.

(Γρηγ. Ναζ. ΛΖ', 1329).

Τί ταῦτα; τολμᾷς καὶ σύ, Μάξιμε, γράφειν;
Γράφειν σὺ τολμᾷς; τῆς ἀναιδείας ὅση!
Τουτὶ μὲν ἤδη καὶ κυνῶν ἀνώτερον.
Τολμητὰ πάντα πᾶσιν· ὦ καιροῦ φορᾶς!

(Αὐτόθ. 1339).

Τί γράφων μελαίνεις τὸν χάρτην κ. ἑ. Κατὰ Ἀπολλιναρίου (Γρηγ. Παρὰ Κοσμ. Ἱεροσ. ΛΗ', 466-469).

*Γράφειν* ἱστορίαν ζώντων δεδοίκαμεν ἤδη, μὴ οὐκ ἀρέσκοντα τοῖς πολλοῖς δόξωμεν γράφειν· ἢ ὅτι, κατὰ τὴν παροιμίαν, τὸ ἀληθές ἐστι πικρόν, ὅτι μὴ σὺν ἐγκωμίῳ τὰ ὀνόματα ὧν φιλοῦσι παραλαμβάνομεν· ἢ ὅτι μὴ τὰς πράξεις αὐτῶν μεγαλύνομεν. Καὶ οἱ μὲν τῶν ἐκκλησιῶν ζηλωταὶ καταγνώσονται ὅτι μὴ τοὺς ἐπισκόπους λέγομεν θεοφιλεστάτους, ἢ ἁγιωτάτους, ἢ τὰ τοιαῦτα· καὶ τοὺς βασιλεῖς μὴ θειοτάτους καὶ δεσπότας, καὶ ὅσα χρηματίζειν εἰώθασιν (Σωκρ. Ἐκκλ. Ἱστορ. ΞΖ', 660).

*Γράφειν*. Καὶ γράφεις λαμπρῶς, καὶ πέμπεις ἁβρῶς, καὶ μένεις φαιδρὸς ὁ τοῖς πᾶσι χρηστός (Ἰσίδ. Πηλ. ΟΗ', 289).

*Γραφὴ* ἡ λέξεων συνεξομοιουμένη ταῖς ποιότησι τῶν σημαινομένων πραγμάτων, οἷον λιμὸς διὰ μόνον τοῦ ι πρὸς ἔμφασιν τῆς τῶν λιμωττόντων ἰσχνότητος· ὡς κοῦρος ὁ νέος, θοῦρος ὁ ὁρμητικός, οὖρος ὁ ἄνεμος. Οὖροι οἱ τόποι, ὅθεν ἡ ναῦς ὁρμᾷ κτλ. (Παρεκϐ. Εὐστ. εἰς Ἰλ., τόμ. Α', σελ. 158).

*Γραφή*, στίξις σώματος διὰ περονῶν ἢ τινων τοιούτων, καὶ ἀπάλειψις αὐτῶν. Διήγησις (Παρεκϐ. Εὐστ. εἰς Ὀδ., τόμ. Β', σελ. 321).

*Γραφῆς* ἀρχαίας τύπος εἰς δεῖγμα (Κύριλλ. Ἀλεξ. ΞΘ', 715).

**Γρηγέντιος** ἐπίσκοπος Ταφρων. Συγγράμματα αὐτοῦ (Πϛ', 563-784). Διάλεξις αὐτοῦ μετὰ Ἐρβᾶν Ἰουδαίου (Αὐτόθ. 621-784).

**Γρηγορᾶς** Νικηφόρος. Συγγράμματα αὐτοῦ (ΡΜΗ', ΡΜΘ').

**Γρηγορεῖν** κατὰ τὴν παραγγελίαν τοῦ Κυρίου. Τελεταὶ διὰ τί ἐν νυκτί· διὰ τί εὐφρόνη ἡ νύξ. Ἆρ' οὖν μὴ καθεύδωμεν, ὡς οἱ λοιποί; Υἱοὶ ὄντες ἡμέρας, νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περι-

κεφαλαίαν, ἐλπίδα σωτηρίου (Κλήμ. Ἀλεξ. Η', 1349 κ. ἑ.).

*Γρηγορεῖν* καὶ νήφειν δεῖ ἀεί, καὶ ἕτοιμον εἶναι ἐν τῇ σπουδῇ τῶν κατορθωμάτων τοῦ Θεοῦ, γνωρίζοντα τῆς ἀναβολῆς τὸ ἐπικίνδυνον (Βασίλ. ΛΑ', 725, μετὰ ἱερῶν παραλλήλων).

*Γρηγορεῖν*. «Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν» (Ματθ. κς', 41). Οὐκ ἔστιν, ὦ φίλη κεφαλή, μηχανὴν εὑρεῖν, δι' ἧς ἄν τις γένοιτο συμφορῶν ἐλεύθερος. Ἀλλὰ θᾶττον ἄν τις ἐν μεγίστῳ κλύδωνι κυβερνήτου καὶ οἰάκων χωρὶς διασωθείη, ἢ τὸν κλύδωνα τοῦ βίου τούτου διαφύγοι, πειρασμῷ μὴ περιπεσών. Εἰ γὰρ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς (Ἰὼβ ζ'), πῶς ἐστιν ἐν τῷ πειρατηρίῳ ὄντες μὴ πειράζεσθαι; Τὸ γὰρ παρὰ τοῦ Σωτῆρος εἰρημένον· «Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν» τὸ μὴ καταποθῆναι ὑπ' αὐτοῦ ᾐνίξατο. Μηνύει τὸ μὴ καταποθῆναι ὑπ' αὐτοῦ πειρασμοῦ καὶ ἡττηθῆναι· τὸ γὰρ περιγενέσθαι καὶ ἀοίδιμον καὶ εὐκλεές. Τῷ γὰρ μὴ εἰπεῖν ἐμπεσεῖν, ἀλλ' εἰσελεῖν, τὸ μὴ καταποθῆναι ὑπ' αὐτοῦ ᾐνίξατο. Εἰ γὰρ τοῦτο, ὅπερ ἄλλοι νομίζουσιν, ἔφη ὁ Σωτήρ, τῷ μηδαμῶς πειρασμῷ περιπεσεῖν, οὐκ ἂν εἶχε λόγον, καὶ τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων, καὶ τῶν μάλα ηὐδοκιμηκότων ἀνδρῶν πολλοῖς καὶ μεγίστοις περιπεπτωκότων. Ἀλλὰ τὸ μὲν μὴ περιπεσεῖν, ἴσως ἀδύνατον, τὸ δὲ μὴ ἡττηθῆναι δυνατόν. Οἱ μὲν οὖν πολλοὶ τῶν ἀνθρώπων ἀμαθίᾳ βεβαπτισμένοι πρὸς τὰς συμφορὰς ἔχουσι τὰς ψυχὰς ἀπαραμυθήτους· οἱ δὲ λογισμῷ σώφρονι κυβερνώμενοι ἀπωθοῦνται ταύτας, οὐ τῷ γενναίως ἐνεγκεῖν μόνον, ἀλλὰ καὶ τῷ στεφάνους ὀνειροπολεῖν (Ἰσίδ. Πηλ. ΟΗ', 517-520). Περὶ τοῦ αὐτοῦ (Αὐτόθ. 1409—1412). Τοῖς γὰρ μάλιστα θησαυρὸν ἀρετῶν ἔχουσι πρέπει γρηγορεῖν καὶ ἀγρυπνεῖν, ἢ τοῖς μηδὲν καλὸν κεκτημένοις. Οἱ μὲν γὰρ ἔχουσιν, οἱ δὲ οὐκ ἔχουσιν ὃ φυλάξουσι· καὶ οὐχ οὕτω λυπεῖ τὸ μὴ κτηθέν, ὡς ἡ τῶν ὑπαρξάντων στέρησις (Αὐτόθ.).

**Γρηγόριος** *ὁ Θαυματουργός*, ἐπίσκοπος Νεοκαισαρείας (Ι', 987—1191). Ἐπιστολὴ Ὠριγένους πρὸς αὐτόν (ΙΑ', 88). Περὶ αὐτοῦ (Εὐσέβ. Κ', 640). Ἐξυμνεῖται ὑπὸ τοῦ ὁμωνύμου Γρηγορίου τοῦ Ναζιανζηνοῦ (Ἠλίας Κρήτης ΛϚ', 901). Ἔπαινος καὶ ἐγκώμιον αὐτοῦ (Βασίλ. ΛΒ', 205 κ. ἑ. 305). Ἀνὴρ μέγας (Βασίλ. ΛΒ', 745). Παρ' αὐτοῦ ἡ βάσις τῆς Ἐκκλησίας τῆς Νεοκαισαρείας ἐτέθη (Αὐτόθ. 308). Θαύματα αὐτοῦ καὶ δῶρον τῆς προφητείας (Αὐτόθ.). Παρ' αὐτῶν τῶν ἐχθρῶν τῆς ἀληθείας ἄλλος Μωσῆς ἐκαλεῖτο (Αὐτόθ.). Ἀπὸ τῶν διαδόχων αὐτοῦ ἀνεγεννήθησαν οἱ Νεοκαισαρεῖς (Αὐτόθ. 764). Ἐσβέσθη παρ' αὐτοῦ ἡ αἵρεσις Σαβελλίου (Αὐτόθ. 769). Διάλογος αὐτοῦ μετὰ Αἰλιανοῦ (Αὐτόθ. 773). Βίος αὐτοῦ (Γρηγ. Νύσσ. ΜϚ', 893 κ. ἑ.) Σωκράτης Ἐκκλ. Ἱστ. περὶ αὐτοῦ (ΞΖ', 536).

*Γρηγόριος Ναζιανζηνός*. Συγγράμματα αὐτοῦ (ΛΕ', ΛϚ', ΛΖ', ΛΗ'). Ὑπομνήματα εἰς ιθ' λόγους αὐτοῦ ὑπὸ Ἠλία Κρήτης (ΛϚ', 757-902). Σχόλια εἰς λόγους αὐτοῦ (ΛϚ', 903). Νικήτα Σερρῶν σχόλια εἰς λόγους αὐτοῦ (ΛϚ', 933-984). Νόννου Ἀββᾶ συναγωγὴ καὶ ἐξηγήσεις εἰς τὰ συγγράμματα αὐτοῦ (ΛϚ', 985-1072). Βασιλείου ἐλαχίστου σχόλια εἰς τοὺς κατὰ Ἰουλιανοῦ τοῦ Παραβάτου λόγους (ΛϚ', 1073-1205). Ἀνωνύμου σχόλια εἰς τοὺς κατὰ Ἰουλιανοῦ λόγους (ΛϚ', 1205-1256). Λόγοι Γρηγορίου (ΛΕ' καὶ ΛϚ'). Ἐπιστολαὶ αὐτοῦ (ΛΖ', 20-385). Διαθήκη αὐτοῦ (ΛΖ', 389-396). Ἔπη αὐτοῦ (ΛΖ', 397-1600). Ποιήματα αὐτοῦ ΛΗ', 11—130). Τραγῳδία Χριστὸς Πάσχων (ΛΗ', 133—338). Κοσμᾶ Ἱεροσολυμίτου συναγωγὴ καὶ ἐξηγήσεις εἰς τὰ ἔπη καὶ ποιήματα αὐτοῦ (ΛΗ', 341-680). Νικήτα Δαβὶδ ἐξηγήσεις εἰς τὰ ἀπόρρητα αὐτοῦ (ΛΗ', 685-841). Τίνα τὰ κανονικὰ βιβλία (ΛΗ', 841). Βίος αὐτοῦ λατινιστί (ΛΕ', 147). Ἑλληνιστί (Αὐτόθ. 244 κ.ἑ.). Ἐκλογαὶ παλαιῶν εἰς ἔπαινον αὐτοῦ (Αὐτόθ. 305). Ἀγωνίσματα αὐτοῦ πνευματικά (ΛΕ', 721). Μετριοφροσύνη αὐτοῦ (ΛΕ', 1156). Ἀγῶνες αὐτοῦ (Αὐτόθ. 1157 κ. ἑ.). Παθήματα αὐτοῦ (Αὐτόθ. ΛϚ', 265). Λόγος εἰς ἑαυτὸν ἐξ ἀγροῦ ἐπανήκοντα μετὰ τὰ κατὰ Μάξιμον (ΛΕ', 1228). Διήγησις αὐτοῦ περὶ ἑαυτοῦ, καὶ τῆς ἐν τῷ κόσμῳ ἀστασίας καὶ ματαιότητος (Αὐτόθ. 1237 κ.ἑ.). Φιλοσοφία αὐτοῦ. Δοκῶ γὰρ κἀγὼ Πνεῦμα

Θεοῦ ἔχειν κ. ἑ. (ΛΕ', 1245 κ. ἑ.). Ἐπιγράμματα εἰς αὐτόν (ΛΕ', 305, 329, 350).

Ἀκουσία ἀνάβασις εἰς τὸν θρόνον Κ/πόλεως, καὶ περὶ τῆς μεταθέσεως αὐτοῦ (ΛϚ', 268). Χειροτονία πρὶν εἰς πρεσβύτερον (ΛϚ', 548 κ. ἑ.). Αἰτία τῆς χειροτονίας εἰς ἐπίσκοπον, καὶ λύπη αὐτοῦ περὶ τούτου (Αὐτόθ. 573). Ἐπιστολαὶ αὐτοῦ σμδ' (ΛΖ', 20-388). Μεσιτεύει ὑπὲρ τοῦ Βασιλείου (ΛΖ', 49-52). Περὶ τοῦ αὐτοῦ πρὸς Βασίλειον (Αὐτόθ. 53). Αἰτία καὶ ἀφορμὴ τῶν ἐμμέτρων συγγραμμάτων καὶ ποιημάτων (ΛΖ', 193). Πάλιν ἡμῖν Γρηγόριος ; Πάλιν ἐπιστολαί ; Πάλιν αἰτήσεις ; κ. ἑ. (ΛΖ', 253).

Ἔπη αὐτοῦ δογματικά (ΛΖ', 398 κ. ἑ.). Ἔπη ἠθικά (Αὐτόθ. 521 κ. ἑ.). Ἱστορικά (Αὐτόθ. 969 κ. ἑ.). Ἔπη περὶ τῶν καθ' ἑτόν (ΛΖ', 969). Περὶ τοῦ ἑαυτοῦ βίου (Αὐτόθ. 1029, 1166, 1244, 1250, 1254, 1271, 1290, 1305, 1346, 1407-1416, 1425—1452). Διάλογος πρὸς ἑαυτόν (ΛΖ', 1346). Εὔλογον αὐτοῦ παράπονον εἰς Βασίλειον ἐπὶ τῇ χειροτονίᾳ εἰς τὴν ἐπισκοπὴν Σασίμων (ΛϚ', 573).

Ὀστοῦν Χριστοῦ ἦν ὁ θεῖος Γρηγόριος, καὶ σκεῦος ἐκλογῆς καὶ φρέαρ βαθὺ (Βασίλ. ΛΒ', 248). Ἐπιστολὴ Βασιλείου πρὸς αὐτόν, ἐν ᾗ περιγράφει τὸ χωρίον τὸ ἐν Πόντῳ, ἐν ᾧ ἐμόναζεν (Βασίλ. ΛΒ', 276). Βίον ἡσυχον ἄγειν ἐβούλετο (Αὐτόθ. 828). Τὰς ἀσχολίας φύσει καὶ προαιρέσει οὐκ ἠγάπα (Αὐτόθ. 316). Ἀποθανόντος τοῦ ἀδελφοῦ αὐτοῦ Καισαρίου, πάντα τὰ ὑπάρχοντα τοῖς πτωχοῖς διένειμεν (Αὐτόθ. 316). Γράφει Βασιλείῳ περὶ συκοφαντιῶν τινων, προσαφθεισῶν αὐτῷ ὑπό τινος μοναχοῦ (Αὐτόθ. ΛΒ', 456). Ἐπιστολαὶ Βασιλείου πρὸς αὐτόν (Αὐτόθ. 165, 641).

Σύνδεσις φιλίας αὐτοῦ μετὰ τοῦ Μ. Βασιλείου ἐν Ἀθήναις. Περιγραφὴ αὐτῆς (Γρηγ. Ναζ. ΛϚ', 517). Περιγραφὴ τοῦ βίου καὶ τῶν σχέσεων αὐτῶν (Αὐτόθ. 521). Ἡ ἐν Ἀθήναις διατριβή (Αὐτόθ. 524). Χωρισμὸς αὐτῶν. Ἐπάνοδος Γρηγορίου παρὰ τοῖς γονεῦσιν (Αὐτόθ. ΛϚ', 529). Ὁμολογεῖ ὑποχωρῆσαι εἰς τὴν εἰς πρεσβύτερον χειροτονίαν (ΛΕ', 408 κ. ἑ.). Κατὰ τὸ Πάσχα ἐχειροτονήθη (Αὐτόθ. 396). Ἀπολογία αὐτοῦ τῆς εἰς τὸν Πόντον φυγῆς (Αὐτόθ. 408 κ. ἑ.). Ἐγερθέντος μεταξὺ μοναχῶν τῆς Ναζιανζοῦ καὶ τοῦ πατρὸς αὐτοῦ Γρηγορίου σχίσματος, μακρὰν παντὸς ἀγαθοῦ ἐγένετο (ΛΕ', 721 κ. ἑ.). Ἐγκώμιον εἰς ἑαυτὸν ὅτι οὐκ ἦν ποιμὴν ἐκ τῶν τὸ γάλα ἐσθιόντων (ΛΕ', 1232 κ. ἑ.). Βοῶντα καὶ ὀδυρόμενον ἐπὶ τὸν Κων/πόλεως θρόνον ἔθηκαν (ΛϚ', 268). Ὅτι οὐκ ἐπεθύμησε τὴν καθέδραν Κων/πόλεως (ΛϚ', 265). Συνταχτήριος αὐτοῦ προσφώνησις πρὸς τὴν Ἐκκλησίαν Κων/πόλεως (ΛϚ', 457 κ. ἑ.).

Ἐκ τίνος πατρὸς καὶ ποίας μητρὸς ἐγεννήθη (ΛΖ', 979). Πρὶν γενέσθαι, εἰς Θεὸν ὑπέσχετο αὐτὸν ἡ μήτηρ (Αὐτόθ. 1225). Εὐχὴ τῆς μητρὸς αὐτοῦ πρὶν γεννηθῆναι (Αὐτόθ. 1001). Εὐσεβῶς παρὰ τῶν γονέων ἐπαιδαγωγήθη εἰς ἀρετήν (Αὐτόθ. 1368). Τὴν εὐσέβειαν παρὰ τῆς μητρὸς παρέλαβεν (Αὐτόθ. 979).

Ὁ αὐτὸς Γρηγόριος περὶ Ἰουλιανοῦ τοῦ Παραβάτου (Σωκρ. Ἐκκλ. Ἱστ. ΞΖ', 440). Γρηγόριος καὶ Βασίλειος (Αὐτόθ. 528). Κοινῷ δόγματι τῶν Ὀρθοδόξων τὴν προστασίαν τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας ἀναδέδεκται (Αὐτόθ. 572). Ἐγκατάστασις αὐτοῦ, Δημοφίλου τοῦ αἱρετικοῦ ἐκβληθέντος (Σωζόμ. ΞΖ', 1424). Παραίτησις αὐτοῦ (Αὐτόθ. 1432). Κοσμᾶς Ἱεροσολυμίτης περὶ τῆς αἰτίας τῶν ἐμμέτρων ποιημάτων Γρηγορίου (ΛΗ', 466-468). Μαξίμου τοῦ Ὁμολογητοῦ θεωρίαι εἰς τοὺς λόγους Γρηγορίου (ϞΑ', 1165-1417). Πίναξ τῶν λόγων Γρηγορίου, εἰς οὓς θεωρίας ἐποιήσατο ὁ Μάξιμος (ϞΑ', 1517).

***Γρηγόριος***, πατὴρ Γρηγορίου τοῦ Θεολόγου, ἐπίσκοπος Ναζιανζοῦ, τὸ πρῶτον εἰδωλολάτρης ἦν, ὕστερον δὲ ἐπίσκοπος γενόμενος μέσος Θεοῦ καὶ ἀνθρώπων ἦν κ. ἑ. (Γρηγ. Ναζ. ΛΖ', 979 στίχ. 125). Ὄρθριος ἦλθεν εἰς τὸν ἀμπελῶνα, ἀλλὰ πολλοὺς τῶν προτέρων καμάτῳ ἀπέκρυψεν (Αὐτόθ. 1569). Ἐπιγράμματα ια' εἰς αὐτόν (ΛΗ', 38-43). Μακρὰν τὸ πρὶν ἦν τῆς μάνδρας (ΛΖ', 1275). Ἔπαινοι αὐτοῦ (Αὐτόθ. 1033). Αἴτιος ἐγένετο τοῦ τοὺς Καισαρεῖς δέξασθαι τὸν Βασίλειον εἰς ἐπίσκοπον (ΛΖ', 84-85). Τρίτος μεταξὺ τῶν συγγενῶν Γρηγορίου ἐτελεύτησεν (ΛΖ', 1416). Λύπη αὐτοῦ ἐπὶ τὸ διαμέ-

νειν τὸν υἱὸν αὐτοῦ Καισάριον παρὰ Ἰουλιανῷ τῷ αὐτοκράτορι (ΛΖ', 33). Ἀσθενῶν προέτρεπε Γρηγόριον τὸν υἱὸν τῆς Ναζιανζοῦ γενέσθαι ἐπίσκοπον (ΛΖ', 1063). Τὴν Ἐκκλησίαν αὐτοῦ σώαν πάσης αἱρέσεως ἐτήρησεν (Αὐτόθ. 1292). Ἐπιτάφιος εἰς αὐτόν (ΛΕ', 985-1041). Ἐγκώμιον αὐτοῦ καὶ τῆς εὐσεβείας καὶ τῶν τρόπων αὐτοῦ (ΛΕ',757). Ἐπιστολὴ αὐτοῦ πρὸς τοὺς ἐν Καισαρείᾳ περὶ ἐκλογῆς τοῦ ἁγίου Βασιλείου εἰς ἐπίσκοπον Καισαρείας (ΛΖ', 84-85). Ἐπιστολὴ Βασιλείου πρὸς αὐτόν (Βασίλ. ΛΒ', 381).

*Γρηγόριος*, θεῖος τοῦ Μεγάλου Βασιλείου. Ἐπιστολαὶ Βασιλείου πρὸς αὐτόν (ΛΒ', 409, 413).

*Γρηγόριος*, ἐπίσκοπος *Νύσσης*, ἀδελφὸς τοῦ Μεγάλου Βασιλείου. Συγγράμματα αὐτοῦ (ΜΔ', ΜΕ', ΜϚ'). Ὑπὸ τοῦ ἀδελφοῦ αὐτοῦ Βασιλείου ἐπιπλήττεται (Βασίλ. ΛΒ', 408, 416, 503.—Γρηγ. Ναζιανζ. ΛΖ', 41). Κανονικὴ αὐτοῦ ἐπιστολή (ΜΕ', 221 κ. ἑ.). Κατὰ Εὐνομίου λόγοι αὐτοῦ ιβ' ὑπὲρ τοῦ Βασιλείου, καὶ ἀνασκευὴ τῶν κακοδοξασιῶν Εὐνομίου (ΜΕ', 2-1301). Γρηγόριος Νύσσης καὶ Βασίλειος ὡς ὁ Μωϋσῆς καὶ Ἀαρών. Ἐγκώμιον εἰς αὐτούς (Γρηγ. Ναζιανζ. ΛΕ', 833). Ἁπλοῦς ἦν (Βασίλ. ΛΒ', 408, 409). Ἄκων διωρίσθη ἐπίσκοπος, συγκαταθέσει πάντων τῶν τῆς Καππαδοκίας ἐπισκόπων (Βασίλ. ΛΒ', 840). Συνόδους συγκροτεῖ ἐν Ἀγκύρᾳ καὶ οὐδένα τρόπον ἐπιβουλεύων ἡμῖν ἀφίησιν (Βασίλ. ΛΒ', 505). Φώτιος Γρηγορίου Νύσσης ὑπὲρ Βασιλείου (ΡΓ', 52).

*Γρηγόριος* Καππάδοξ, Ἀρειανός, ἐπίσκοπος Ἀλεξανδρείας· διάδοχος ἐστάλη Ἀθανασίου εἰς Ἀλεξάνδρειαν· ὑπὸ Κωνσταντίου καὶ Εὐσεβίου (Ἀθαν. ΚΕ', 225). Εἴσοδος αὐτοῦ εἰς Ἀλεξάνδρειαν καὶ παρανομίαι αὐτοῦ (ΚΕ', 228). Ὑπὸ Κωνσταντίου ἐστάλη (Αὐτόθ. 296, 753). Κακουργίαι αὐτοῦ (Αὐτόθ. 300). Ἐθνικοῖς καὶ Ἰουδαίοις τὴν Ἐκκλησίαν παρέδωκε πρὸς λαφυραγώγησιν (Αὐτόθ. 228-229). Κατὰ τὴν ἡμέραν τοῦ Πάσχα παρέδωκε τοὺς Χριστιανοὺς εἰς τὰς φυλακάς (Αὐτόθ. 233). Τί ἔπραξεν ἐν Ἀλεξανδρείᾳ σταλεὶς ὑπὸ Κωνσταντίου (Αὐτόθ. 276, 705.—Σωζόμ. ΞΖ', 1041).

*Γρηγόριος Φωτιστὴς* τῆς Μεγάλης Ἀρμενίας (Χρυσόστ. ΞΓ', 921).

*Γρηγόριος* Ἀντιοχείας. Συγγράμματα αὐτοῦ (ΠΗ', 1845-1884). Περὶ τοῦ τρόπου καὶ τῆς παιδείας αὐτοῦ (Εὐάγρ. Ἐκκλ. Ἱστ. ΠϚ', 2804, 2852, 2860-2861).

*Γρηγορίου* ἀδήλου διάλεξις μετὰ Ἀπολλιναριστοῦ (Ἴσως ὁ Νύσσης) (ΚΗ', 1265).

*Γρηγόριος* ἐπίσκοπος *Ἀκραγαντίνων*. Συγγράμματα αὐτοῦ (ϞΗ', 526-1228).

*Γρηγόριος* ἐπίσκοπος *Δεκαπόλεως*. Συγγράμματα αὐτοῦ (Ρ', 1199-1201).

*Γρηγόριος Πάπας*. Συγγράμματα αὐτοῦ (Φώτ. ΡΔ', 97-100).

*Γρηγόριος Μοναχός*, μαθητὴς τοῦ νέου Βασιλείου (ΡΘ', 653).

*Γρηγόριος*, πρεσβύτερος Καισαρείας. Συγγράμματα αὐτοῦ (ΡΙΑ', λόγοι δύο).

*Γρηγόριος Παλαμᾶς*, ἐπίσκοπος Θεσσαλονίκης. Συγγράμματα αὐτοῦ (ΡΝ', 772-1373. ΡΝΑ', 9-536).

*Γρηγόριος Ἀκίνδυνος*. Συγγράμματα αὐτοῦ (ΡΝΑ', 1187-1217).

*Γρηγόριος Σιναΐτης*. Συγγράμματα αὐτοῦ (ΡΝ', 1237-1304).

*Γρηγόριος Κύπριος*, Π. Κ/πόλεως. Συγγράμματα αὐτοῦ (ΡΜΒ', 9-445).

*Γρηγόριος ὁ Μελισσηνὸς* ἢ τῆς Μαμμῆς, Π. Κ/πόλεως. Συγγράμματα αὐτοῦ (ΡΞ', 13—205).

*Γρηγορίου* τινὸς ἐπιστολὴ καὶ ἐγκώμιον εἰς Βησσαρίωνα (ΡΞΑ', 727-731).

**Γρῖφοι** καὶ τὰ εἰκοσιτέσσαρα γράμματα (Ἑλλην. Ἀνθολ. τόμ. Β', σελ. 201).

**Γρῖφος**, αἴνιγμα καὶ δύσκολον ζήτημα ἐν συμποσίοις ἐπὶ φιάλῃ μεστῇ γινόμενον, ὅπερ ὁ ἐπιλυσάμενος φιάλην ἐξέπινεν (Λ. Εὐστ.).

**Γροθίγγοι**, βάρβαρον ἔθνος σκυθικόν (Ζώσ. ἔκδ. Βόνν., σελ. 218).

**Γύγης** καὶ ἡ στροφὴ τῆς σφενδόνης αὐτοῦ. Τί περὶ αὐτοῦ Πλάτων καὶ Ἡρόδοτος καὶ τοῦ μύθου διηγοῦνται (Σχόλ. εἰς Γρηγ. Ναζ. ΛϚ', 906). Τὰ αὐτὰ περὶ τοῦ αὐτοῦ (Νόνν. ΛϚ', 1013). Κοσμᾶς Ἱεροσολυμίτης (ΛΗ',617).

**Γύθειον** ἀρχαία λακωνικὴ πόλις (Ἰωάνν. Μαλάλ. ϞΖ', 164).

**Γυΐα,** τὰ καθ' ὅλον τὸ σῶμα μέλη. Ἰδίως δὲ οἱ πόδες καὶ αἱ χεῖρες (Λ. Εὐστ.).

**Γυμνὰ** καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ (Ἑβρ. δ', 13). Ἐκ μεταφορᾶς τῶν ἱερείων, τῶν εἰς θυσίαν προσαγομένων. Ὥσπερ ἐκεῖνα γυμνά, οὕτω καὶ τὰ κεκρυμμένα κ. ἑ. (Ἰσίδ. Πηλ. ΟΗ', 248).

**Γυμνασία** τῆς περὶ τὰ μείζω φιλονικίας, ἅπας λόγος δύσερις καὶ φιλότιμος (Γρηγ. Ναζ. ΛϚ', 205).

*Γυμνασία* πνευματικὴ καὶ σωματική. Πραγματεία (Νεῖλ. ΟΘ', 528-529).

*Γυμνασία* καὶ ἄσκησις. Παραίνεσις καὶ ὑποδείγματα πάνυ χρήσιμα καὶ ὠφέλιμα (Ἰσίδ. Πηλ. ΟΗ', 1625).

**Γυμνάσια** στρατιωτῶν κατὰ τὴν α' τοῦ μηνὸς Μαρτίου κατὰ νόμον πάτριον Ῥωμαίων, καὶ συνήθεια παλαιά (Γρηγ. Νύσσ. ΜϚ', 773 κ. ἑ.).

*Γυμνάσια*. Ὅτι καὶ γυμνάσια ἐγκριτέον τοῖς κατὰ λόγον βιοῦσιν. Περὶ γυμνασίων μετὰ ὑποδειγμάτων ἐσωτερικῶν τε καὶ ἐξωτερικῶν. Ἔνθα καὶ περὶ τοῦ ἀρίστου βίου (Κλήμ. Ἀλεξ. Η', 620-681). Γυμνασίων εἴδη (Αὐτόθ. 620—625 κ. ἑ.).

**Γυμνάσιον** διὰ σιωπῆς, ἰδίᾳ τοῖς νεωστὶ εἰσαγομένοις (Βασίλ. ΛΑ', 949).

*Γυμνάσιον* τῶν θλίψεων (Θεοδώρ. Π', 1109 καὶ 1224 κ. ἑ.).

*Γυμνάσιον*. Περὶ γυμνασίου καὶ μελέτης καὶ ἀσκήσεως ἱερὰ παράλληλα (Ἰωάνν. Δαμασκ. ϞΕ', 1309-1312).

**Γυμναστική.** Περὶ γυμναστικῆς καὶ μουσικῆς. Ἀπὸ τοῦ Πλάτωνος ἐν Πολιτείᾳ (Εὐσέβ. ΚΑ', 1225-1229).

**Γυμνὴν** ἔχοντα τὴν διάνοιαν (Θεοδώρ. ΠΑ', 216). Γυμνὴ τιμωρία τοῖς ἀξίοις ἐπιφέρεται, τῆς μακροθυμίας παυομένης (Αὐτόθ. 1007). Οὐ γυμνὴν τὴν λύπην, ἀλλὰ τῆς λύπης θεωρῶν τὸν καρπόν· ἡ λύπη γὰρ ἐκείνη βεβλάστηκε τὴν ἐπαινουμένην μετάνοιαν (Αὐτόθ. ΠΒ', 420). Γυμνὴ διδασκαλία (Αὐτόθ. 676). Γυμνὴ καρτερία (Αὐτόθ. 1456).

**Γυμνός.** «Ὁ γυμνὸς φεύξεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ» (Ἀμὼς β', 16). Σημαίνει προχείρως μὲν τὰ ἐν τῷ πάθει τοῦ Κυρίου συμβάντα· ἡ δὲ κεκρυμμένη διάνοια, τὸν ἐλεύθερον τῶν γηίνων (Ἰσίδ. Πηλ. ΟΗ', 216).

**Γυμνότης** παρὰ τοῖς ἀγγέλοις τί ἐμφαίνει; τὸ ἄφατον, καὶ εὔλυτον, καὶ ἄσχετον, καὶ καθαρεῦον τῆς τῶν ἐκτὸς προσθήκης, καὶ τὸ πρὸς τὴν ἁπλότητα τὴν θείαν ὡς ἐφικτὸν ἀφομοιωτικόν (Διονύσ. Ἀρεοπ. Γ', 332).

**Γυμνοσοφισταὶ** καὶ Δρυΐδαι. Καί φασι τοὺς μὲν Γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀποφθεγγομένους φιλοσοφῆσαι, σέβειν θεούς, καὶ μηδὲν κακὸν δρᾶν, καὶ ἀνδρείαν ἀσκεῖν (Πλάτ. παρὰ Κλήμ. Η', 759 σημ.). Γυμνοσοφισταὶ Αἰγυπτίων, ἐφ' οὓς πορευθεὶς Ἀπολλώνιος ὁ Τυανεὺς τῇ προστάξει αὐτῶν ἐλάλησε μετά τινος πτελέας. (Εὐσέβ. κατὰ Ἱεροκλ. τοῦ Μυθολόγου ΚΒ', 845). Γυμνοσοφισταὶ Ἰνδοί, καὶ γεωργικῆς τέχνης ἔπαινος (Χρυσόστ. ΞΑ', 506). Γυμνοσοφισταὶ καὶ Βραχμᾶνες (Ἐπιφ. ΜΒ', 797).

**Γύμνωσις** σώματος. Εἰ γὰρ καὶ ἄσεμνον κατὰ τὴν λέξιν τὸ γεγυμνῶσθαι κατὰ τὸ σῶμα, ἀλλὰ γοῦν κατὰ τὴν θεωρίαν οὐ μόνον εὐπρεπές, ἀλλὰ καὶ χρήσιμον λίαν (Νείλου πραγματεία εἰς τὸ ῥητὸν τοῦ Εὐαγγελίου. «Ἀλλὰ νῦν, ὁ ἔχων βαλλάντιον ἀράτω ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγορασάτω μάχαιραν» (Λουκ. κβ', 36) ΟΘ', 1264-1280).

*Γύμνωσις* καθ' ἑαυτὴν οὐ δεινόν, ἐπεὶ καὶ βρέφη τὴν γύμνωσιν οὐκ αἰσχύνονται, καὶ πρὸς ἰατροὺς ἀπογυμνοῦται πᾶς ὁ θεραπείας δεόμενος, καὶ γυναῖκες ἐπὶ βαλανείων ὁρῶνται γυμναί. Οὕτω λογισμός ἐστι τῆς ψυχῆς ὁ τὴν γύμνωσιν ποτὲ μὲν αἰσχράν, ποτὲ δὲ οὐκ αἰσχρὰν ποιῶν κ. ἑ. (Προκόπ. Γαζ. ΠΖ', 189-192).

**Γόνατα** τιμητέον, προνοοῦντας μὴ ἄρα σφαλῶμεν κ. ἑ. (Ἰουστῖνος Ϛ', 1200).

**Γυναῖα** δῶρα, τὰ γυναικεῖα.

**Γυναικάριον.** Αἰχμαλωτίζοντες γυναικάρια. Ὥστε γυναικάριον ὁ εὐεξαπάτητος καὶ ἀνδρὸς πόρρω. Γυναικῶν δὲ τὸ ἀπατᾶσθαι· μᾶλλον δὲ οὐδὲ γυναικῶν (Χρυσόστ. ΞΒ', 644).

**Γυναικεῖον.** Περιπαθές πως τὸ γυναικεῖον γένος καὶ πρὸς οἶκτον ἐπιρρεπέστερον (Χρυσόστ. ΝΘ', 467).

*Γυναικεῖον* αἰδοῖον· ὅτι ἄμβων καὶ χοῖ-

ρος καὶ ἐσχάρα καὶ δέλτα καὶ κέλης ἐλέγετο συνωνύμως (Λ. Εὐστ.).

**Γυναικωνέτης** ἐν τῇ Ἐκκλησίᾳ διὰ τί, ἐνῷ τὸ πάλαι ἄνδρες καὶ γυναῖκες ἵσταντο ὁμοῦ; (Χρυσόστ. ΝΗ', 677). Γυναικωνῖτις (Σωκρ. Ἐκκλ. Ἱστ. ΞΖ', 121).

**Γυναικωνῖτις.** Οἱ δὲ τὰ φορεῖα εἰς ὕψος αἴροντες τῶν γυναικῶν καὶ φοράδην βαστάζοντες Κελτοὶ πολλοί. Ἔριθοι δέ, καὶ ταλασίαι καὶ ἱστοπονίαι καὶ ἡ γυναικωνῖτις ἐργάνη καὶ οἰκουρία οὐδαμοῦ κ. ἑ. (Κλήμ. Ἀλεξ. Η', 593).

*Γυναικωνῖτις.* Ἐχρῆν μὲν οὖν ἔνδον ἔχειν τὸ τεῖχος τὸ διεῖργον ὑμᾶς τῶν γυναικῶν· ἐπειδὴ δὲ οὐ βούλεσθε, ἀναγκαῖον ἐνόμισαν εἶναι οἱ Πατέρες κἂν ταῖς σανίσιν ὑμᾶς ταύταις διατειχίσαι. Ὡς ἔγωγε ἀκούω τῶν πρεσβυτέρων, ὅτι τὸ παλαιὸν οὐδὲ ταῦτα ἦν τὰ τειχία· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὐκ ἔστιν ἄρσεν καὶ θῆλυ. Καὶ ἐπὶ τῶν Ἀποστόλων δὲ ὁμοῦ καὶ ἄνδρες καὶ γυναῖκες ἦσαν (Χρυσόστ. ΝΗ', 677).

*Γυναικωνίτου* θυρωρὸς ἐν ἐκκλησίᾳ καὶ εὐταξίας ἐν αὐτῷ (Διατ. Ἀποστ. Α', 732). Διάταγμα Κωνσταντίνου γυναῖκας εἰς ἐκκλησίας ἀνδράσιν ἅμα μὴ συνάγεσθαι (Εὐσέβ. Κ', 968).

Περὶ ὑποταγῆς γυναικὸς πρὸς ἄνδρα καὶ φιλάνδρου καὶ σώφρονος, μετὰ ἱερῶν παραλλήλων (Διατ. Ἀποστ. Α', 577-585).

Περὶ γυναικὸς φαύλης μετὰ ἱερῶν παραλλήλων (Αὐτόθ. Α', 576-577).

Περὶ τοῦ μὴ συλλούεσθαι γυναῖκα ἀνδράσιν (Αὐτόθ. Α', 585).

Περὶ μαχίμου καὶ γλωσσώδους γυναικός (Αὐτόθ. Α', 588).

Αἱ γυναῖκες εἰς τὴν Ἐκκλησίαν εἰσερχόμεναι κεχωρισμένως καθιζέσθωσαν, σιωπὴν ἄγουσαι (Αὐτόθ. Α', 725).

**Γυναῖκες** διάκονοι ποίαν ἐν τῷ κλήρῳ ἐτέλουν ὑπηρεσίαν· πότε διωρίσθησαν καὶ διὰ τί (Αὐτόθ. Α', 796-797).

*Γυναῖκες* βαπτιζόμεναι. Ὅτι γυναῖκα βαπτιζομένην ὁ ἐπίσκοπος μόνην τὴν κεφαλὴν χρίει· ὁ δὲ διάκονος τὸ στόμα καὶ τὸ στῆθος· ἡ διακόνισσα ὅλον τὸ σῶμα (Αὐτόθ. Α', 796-797).

*Γυναῖκες*, ἀναιροῦσαι τὰ ἐκ πορνείας ἢ μοιχείας γεννώμενα ἢ κατ' ἐπιτήδευσιν φθορίοις χρώμεναι φαρμάκοις, φόνου δίκην ὑπέχουσιν (Αὐτόθ. Α', 1000).

Ἡ θήλεια ὅλη πλάνη. Ὁ ἄρσην ὅλος ἀλήθεια. Ὁ δὲ ἐξ ἄρσενος καὶ θηλείας γεγονὼς ἃ μὲν ψεύδεται, ἃ δὲ ἀληθεύει. Ἡ γὰρ θήλεια ἰδίῳ αἵματι, ὥσπερ ἐρυθρῷ πυρί, περιβάλλουσα τὸ τοῦ ἄρσενος λευκὸν σπέρμα, ἀλλοτρίοις ἐρείσμασιν ὀστέων τὸ ἀσθενὲς αὐτῆς συνίστησι καὶ τῷ τῆς σαρκὸς προσκαίρῳ ἄνθει τέρπουσα καὶ βραχείαις ἡδοναῖς τοῦ λογισμοῦ τὴν ἰσχὺν ὑποσυλῶσα, τοὺς πλείονας εἰς μοιχείαν ἄγει (Κλημέντεια Β', 128-129).

Δόλοι τῶν γυναικῶν ὅπως τοὺς ἄνδρας ἐξαπατήσωσιν. Πονηραί εἰσιν αἱ γυναῖκες, τέκνα μου, ὅτι μὴ ἔχουσαι ἐξουσίαν ἢ δύναμιν ἐπὶ τὸν ἄνθρωπον, δολιεύονται ἐν σχήματι, πῶς αὐτὸν πρὸς αὐτὰς ἐπισπάσωνται· καὶ ὃν διὰ δυνάμεως οὐκ ἰσχύουσι καταγωνίσασθαι, τοῦτον δι' ἀπάτης καταγωνίζονται. Αἱ γυναῖκες ἡττῶνται τῷ πνεύματι τῆς πορνείας ὑπὲρ τὸν ἄνθρωπον, καὶ ἐν καρδίᾳ μηχανῶνται κατὰ τῶν ἀνθρώπων καὶ διὰ τῆς κοσμήσεως πλανῶσιν αὐτῶν πρῶτον τὰς διανοίας καὶ διὰ τοῦ βλέμματος τὸν ἰὸν ἐνσπείρουσι, καὶ τότε τῷ ἔργῳ αἰχμαλωτίζουσιν· οὐ γὰρ δύναται γυνὴ ἄνθρωπον βιάσασθαι (Διαθήκη Ῥουβεὶμ Β', 1044).

Αἱ γὰρ συνεχεῖς συντυχίαι, κἂν μὴ πραχθῇ τὸ ἀσέβημα, αὐταῖς μέν εἰσι νόσος ἀνίατος, ὑμῖν δὲ ὄνειδος τοῦ Βέλιαρ αἰώνιον (Αὐτόθ. 1045).

**Γυνὴ** ἡ σώφρων τὸ τοῦ Θεοῦ θέλημα ποιεῖ. Εἷς ὢν ὁ Θεός, ἑνὶ ἀνθρώπῳ μίαν ἔκτισε γυναῖκα. Ἡ σωφρονεῖν θέλουσα τὰς προφάσεις τῆς λοιδορίας ἐκκόπτει. Ἡ σώφρων τὸν Θεὸν ποθεῖ, τὸν Θεὸν φιλεῖ, τὸν Θεὸν δοξάζει, ἀνθρώποις πρόφασιν πρὸς λοιδορίαν οὐ παρέχει. Σώφρονος γυναικὸς κάλλος μέν ἐστιν ἡ ἐν τῇ ψυχῇ εὐνομία, μύρου δὲ πνέει τῆς ἀγαθῆς φήμης. Καλὰ φόρεα ἠμφίεσται τὴν αἰδῶ, καὶ τιμίους μαργαρίτας περίκειται τοὺς σωφρονίζοντας λόγους. Λευκὴ δὲ τυγχάνει, ὅταν τὰς φρένας ᾖ λελαμπρυσμένη. Καλῷ ἐσόπτρῳ ὁρᾷ, εἰς Θεὸν βλέπουσα. Καλῷ κόσμῳ χρῆται, τῷ πρὸς Θεὸν φόβῳ τὴν

ψυχὴν νουθετοῦσα. Καλὴ ἡ γυνή, οὐχ ἡ χρυσῷ πεπεδημένη, ἀλλ' ἡ τῶν προσκαίρων ἐπιθυμιῶν λελυμένη.

Ἡ σώφρων γυνὴ εἰς τὸ θέλεσθαι προφάσεις οὐ παρέχει ἢ μόνῳ τῷ ἰδίῳ ἀνδρί. Ἡ σώφρων γυνὴ τὸν ἑαυτῆς μόνον ἄνδρα ἐνδιαθέτως φιλεῖ καὶ κολακεύει, ἀρέσκει, δουλεύει, πρὸς πάντα αὐτῷ πείθεται, παρεκτὸς τοῦ ἀπειθεῖν Θεῷ. Ἡ γὰρ πειθομένη Θεῷ ἄνευ φυλάκων καὶ τὴν ψυχὴν σωφρονεῖ, καὶ τὸ σῶμα καθαρεύει. Ἔτι μὴν σὺν νέοις οὐχ ἰδιάζει, καὶ τοὺς γέροντας ὑποπτεύει· γέλωτας ἀτάκτους ἀπωθεῖται, σεμνοὺς λόγους ἀκούουσα ἥδεται, τοὺς δὲ μὴ ἐπὶ σωφροσύνῃ λεγομένους ἀπωθεῖται (Κλημέντεια Β', 340-344).

*Γυναῖκας* μὴ βδελύττου· αὗταί σε γὰρ γεγεννήκασι καὶ ἔθρεψαν. Ἀγαπᾶν οὖν χρὴ τὰς συνεργοὺς τῆς γεννήσεως, μόνον δὲ ἐν Κυρίῳ. Ἄνευ δὲ γυναικὸς ἀνὴρ οὐ παιδοποιήσει· τιμᾶν οὖν χρὴ τὰς αἰτίας τῆς γεννήσεως. Οὔτε ἀνὴρ χωρὶς γυναικός, οὔτε γυνὴ χωρὶς ἀνδρός, εἰ μὴ ἐπὶ τῶν πρωτοπλάστων (Ἰγνάτ. Ε', 905, 913).

*Γυνὴ* χωρίζεται τοῦ ἀνδρὸς πότε καὶ διὰ τί. Ἱστορία συζύγων ἀνδρὸς καὶ γυναικός (Ἰουστῖνος ϛ', 444-448).

Πῶς δεῖ γυναιξὶν ὁμιλεῖν. Καὶ γυναιξὶν ὁμιλητέον ἐπιστρεφέστερον διὰ τὸ ἐκτετυφωμένον αὐτῶν. Μέχρι γάρ τις περίβλεπτον ἑαυτὴν ποιεῖ καὶ τὸ εἶναι γυνὴ προβάλλεται καὶ τὸ ἄπρακτον ἐπιτετήδευκε, θήλειά ἐστι, καὶ διὰ τὴν τοιαύτην γνώμην, οὐκ ἔστι πιστή. Μήτε οὖν αὐτὰς διώκωμεν, ἀλλὰ μήτε θωπεύωμεν. Τὸ δ' ὅπερ ἀγάπης μέν ἐστι μὴ κεκινδυνευμένως πράττωμεν κ. ἑ. Ψωριᾷ γὰρ ἡ γνώμη, καὶ πολλῆς ἐμπέπλησται κακοχυμίας ἀπὸ τῶν ἄλλων ὁμιλιῶν. Διὰ τοῦτο ἀκουστέον μόνον τὰ ὠφέλιμα, καὶ ποιητέον κατὰ τὸ Εὐαγγέλιον. Πολυμερεῖς γὰρ αἱ τῆς κακίας πραγματεῖαι (Ἰουστῖνος ϛ', 1192).

*Γύναια* δὲ τιμητέον, προνοοῦντας μὴ ἄρα σφαλῶμεν, καὶ προσιτέον αὐταῖς ὑγιῶς, καὶ μὴ περιέργως, δεδιότας τῆς μετ' αὐτῶν ἀναστροφῆς τὸ κινδυνῶδες, καὶ προγινώσκοντας τό τε εὐμετάβολον αὐτῶν καὶ ὅσα ἕτερα τεχνάζονται εἰς τὸ ἀρέσκειν καὶ ὑποκλέπτειν (Ἰουστῖνος αὐτόθ. 1200).

*Γυνὴ* δὲ ἐστιν ἀδελφὴ μὲν πᾶσα· τοῦ δὲ πλησίον εἴρηται γυνή. Ἔστι δὲ καὶ ἡ πλησίον γυνὴ σὰρξ ἐν ἡμῖν, ἐφ' ἣν οὐ χρεμετιστέον· χρεμετίζει δὲ καὶ ὁ μηδέπω πεποιηκὼς τὴν ἐπιθυμίαν, ἀναθυμιωμένης αὐτῷ τῆς ὀρέξεως, κἂν μὴ λαμβάνῃ τὸ τέλος (Αὐτόθ. 1201).

*Γυναικὸς* πλάσις διὰ τί ἐξ Ἀδάμ, καὶ οὐχὶ χωρίς, καὶ περὶ νομίμου γάμου (Θεόφ. Ἀντιοχ. ϛ', 1096-1097).

*Γυναῖκες*. Αἱ ἐσθῆτες αὐτῶν ὁποῖαι ὀφείλουσιν εἶναι (Κλήμ. Ἀλεξ. Η', 525). Ὁποῖα προσήκει εἶναι τὰ ὑποδήματα αὐτῶν καὶ μὴ χρυσόηλα (Αὐτόθ. 537). Περὶ καλλωπισμοῦ αὐτῶν, ψιμυθίων, ἐντριμμάτων, κομψότητος ἐνδυμάτων κτλ. κτλ. (Αὐτόθ. 561-569). Τί ἐν τοῖς λουτροῖς ποιοῦσιν (Αὐτόθ. 500). Γυναῖκες ἐν βαλανείοις καὶ ὅσα ποιοῦσιν (Αὐτόθ. 600 κ. ἑ.).

*Γυνὴ* πῶς ἐν τοῖς συμποσίοις ἀναστρέφεσθαι ὀφείλει (Κλήμ. Η', 460).

Χρὴ τὰς γυναῖκας γυμνάζεσθαι (Αὐτόθ. Η', 621). Ὅτι οὐ προσήκει ἀλλοτρίας αὐτὰς ἐπιτιθέναι τρίχας, μήτε βάπτειν τὰς ἑαυτῶν (Αὐτόθ. 637). Ὅτι ὀφείλουσιν ἐν ταῖς οἰκίαις κινεῖσθαι καὶ ἐργάζεσθαι. Καὶ γὰρ ὑγιείας τοῦτο πρόξενον (Αὐτόθ. 640). Περὶ τιμίας καὶ ἑταίρας γυναικός (Αὐτόθ. 648—649).

Ὅτι οὐ χρὴ κοινὰς ἔχειν τὰς γυναῖκας, ὡς Ἁρποκράτης καὶ Ἐπιφάνιος οἱ αἱρετικοὶ ἐδίδασκον (Αὐτόθ. 1104-11105). Γνῶμαι φιλοσόφων Πλάτωνος καὶ λοιπῶν περὶ τούτου (Αὐτόθ. Η', 1112 κ. ἑ. Θ', 240 κ. ἑ.).

*Γυναικὸς* φιλάνδρου καὶ σεμνῆς περιγραφή (Αὐτόθ. 1336 κ. ἑ. 1356 κ. ἑ.).

*Γυνὴ* καὶ ἀνήρ, γάμος. Ἐν γὰρ τῷ αἰῶνι τούτῳ γαμοῦσι καὶ γαμίσκονται (Λουκ. κ', 35). Ἐν ᾧ μόνῳ τὸ θῆλυ τοῦ ἄρρενος διακρίνεται· ἐν ἐκείνῳ δὲ οὐκ ἔτι κτλ. (Αὐτόθ. Η', 260 κ. ἑ.).

*Γυνὴ* γημαμένη, εἴ γε σώφρων, διαιρεῖται τὸν βίον καὶ πρὸς Θεὸν καὶ πρὸς ἄνδρα· ἡ δὲ ἄλλως φερομένη, ὅλη γίνεται τοῦ γάμου, τουτέστι τοῦ πάθους (Αὐτόθ. 528 κ. ἑ.).

*Γυνὴ* μισθία ἴση σιάλῳ λογισθήσεται· ὕπανδρος δὲ πύργος θανάτου τοῖς χρωμένοις (Αὐτόθ. 513).

*Γυναικὸς* ὑπάνδρου καὶ σώφρονος ἀπάντησις. Καλὸς ὁ πῆχυς, ἀλλ' οὐ δημόσιος (Αὐτόθ. 533).

*Γυναῖκες*, εἰ μὲν γὰρ καλαί εἰσιν, ἀπόχρη ἡ φύσις, μὴ φιλονικείτω ἡ τέχνη πρὸς τὴν φύσιν· τουτέστι, ἀπάτη ἀληθείᾳ μὴ ἐριζέτω· εἰ δὲ αἰσχραὶ φύσει, ἐλέγχουσιν ἐξ ὧν προσάπτουσιν ἃ μὴ ἔχουσιν. Ἔνθα τίς κόσμος γυναικῶν εὐπρεπὴς καὶ ἔντιμος (Αὐτόθ. 552 κ. ἑ.).

*Γυναῖκες* ὠχραὶ καὶ νοσηραὶ διὰ τοὺς καλλωπισμούς. Διά τοι τοῦτο αἱ κακοδαίμονες ὠχραὶ μὲν ἐκ καταπλασμάτων καταφαίνονται, εὐάλωτοι δὲ ὑπὸ νόσων γίνονται, ταχεράν ἤδη τὴν σάρκα φαρμάκοις τὴν ἐσκιαγραφημένην ἔχουσαι κτλ., μετὰ σοφῶν παραδειγμάτων (Αὐτόθ. 560-576).

*Γυναῖκες*, ἐκτρέφουσαι ὄρνεις ἰνδικούς, ταῶνας μηδικούς, κυνάρια μελιταῖα (Αὐτόθ. 596-597, ἔνθα περὶ ἑταιρικῶν διακόνων ἀσελγείας).

*Γυναικῶν* ἐπιμέλεια τῶν τριχῶν τῆς κεφαλῆς καὶ ματαιοπονία. Χρῆσις ἀλλοτρίων τριχῶν. Περιγραφὴ τῆς ματαιοπονίας καὶ ἀπάτης (Αὐτόθ. 637). Γυνὴ κεκοσμημένη καὶ ξένας τρίχας φέρουσα. Τίνι ὁ πρεσβύτερος ἐπιτίθησι τὴν χεῖρα; Τίνα εὐλογήσει; Οὐ τὴν γυναῖκα τὴν κεκοσμημένην, ἀλλὰ τὰς ἀλλοτρίας τρίχας, καὶ δι' αὐτῶν ἄλλην κεφαλήν (Αὐτόθ. 639).

*Γυναῖκες* ἀρεταῖς κοσμούμεναι, καὶ κακίαις ἑαυτὰς ἀσχημίζουσαι (Αὐτόθ. Η', 640—680).

Φεῦ φεῦ, γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα
Οὐ χρυσός, οὐ τυραννίς, οὐ πλούτου χλιδὴ
Τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονάς,
Ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
Γνώμη δικαία καὶ φρονοῦσα τἄνδικα.
(Ἀπολλωνίδου παρὰ Στοβαίῳ τίτλ. ΞΖ'.—Κλήμ. Ἀλεξ. Η', 664).

*Γυναῖκα* ἀνύποπτον εἰς διαβολὴν δείκνυσι τὸ μὴ καλλωπίζεσθαι (Αὐτόθ. Η', 1096).

Γυναῖκες κοιναὶ παρ' Ἰουδαίοις οὐκ ἦσαν ἀποδεδειγμέναι (Αὐτόθ. Η', 1192 κ. ἑ.).

*Γυναῖκες* Ἰβήρων, Θρακῶν καὶ Σκυθῶν τεκοῦσαι διακονοῦσι τοῖς ἀνδράσι κ. ἑ. (Αὐτόθ. Η', 1273 κ. ἑ.).

*Γυνὴ* ἴση καὶ ὁμοία ἀνδρὶ κατὰ τὴν ἀρετήν, καθὸ ἄνθρωπος. Οὐ γάρ τινας Ἀμαζόνας τὰ πολεμικὰ ἀνδρείας τὰς γυναῖκας ἀσκοῦμεν. Ὅπου γε καὶ τοὺς ἄνδρας εἰρηνικοὺς εἶναι βουλόμεθα (Αὐτόθ. Η', 1272—1273 κ. ἑ. 1328-1329 κ. ἑ.).

*Γυναιξὶν* ἐμφερῶς τοῖς ἀνδράσι φιλοσοφητέον κ. ἑ. (Αὐτόθ. Η', 1272).

*Γυναικῶν* καὶ τέκνων παιδαγωγία (Αὐτόθ. Η', 1316 κ. ἑ.).

*Γυναικὶ* ὁ ἐμβλέψας εἰς ἐπιθυμίαν πῶς καὶ πότε ἔνοχος. Διήγησις περὶ τούτου. Βοκχώριδος βασιλέως Αἰγύπτου κρίσις περί τινος ἐρῶντος ἀστεία (Πλούτ. εἰς βίον Δημητρ.—Κλήμ. Ἀλεξ. Η', 1324 κ. ἑ.).

*Γυνὴ* ποσταία ἀπὸ ἀνδρὸς καθαρεύει; φάναι τὴν Θεανώ· ἀπὸ μὲν τοῦ ἰδίου ἀνδρὸς παραχρῆμα· ἀπὸ δὲ ἀλλοτρίου οὐδέποτε. Ἀπὸ μὲν τοῦ συνοικοῦντος ἀνδρὸς ὅσιόν ἐστιν αὐθημερὸν προσιέναι τοῖς ἱεροῖς· ἀπὸ δὲ τοῦ μὴ προσήκοντος οὐδέποτε (Παρὰ Κλήμ. Η', 1331-1332 σημ.). Γυνὴ φίλανδρος μετὰ σεμνότητος κατ' Εὐριπίδην (Αὐτόθ. 1336 κ. ἑ.). Γυνὴ βοηθὸς τῷ ἀνδρὶ παρὰ Θεοῦ δέδοται κ. ἑ. (Αὐτόθ. 1337).

*Γυναῖκες* πρεσβύτιδες. Δεῖν εἶναι τὰς πρεσβύτιδας ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται (Αὐτόθ. 1339-1340).

Κακὸν γυναῖκα γραῖαν ζεῦξαι πρὸς νέον.
Ὁ μὲν γὰρ ἄλλης λέκτρον ἱμείρει λαβεῖν·
Ἡ δ' ἐνδεὴς τοῦδ' οὖσα, βουλεύει κακά.
(Εὐριπ. παρὰ Κλήμ. Θ', 217).

Οὔτοι χρήσιμόν ἐστι νέα γυνὴ ἀνδρὶ γέροντι.
Οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος.
(Θέογνις).

Αἰσχρὸν γὰρ γυναικὶ πρεσβύτης ἀνήρ.
(Ἀριστοφ. παρὰ Κλήμ. Θ', 228).

*Γυνὴ* πῦρ.

Χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας
Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι·
Τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
Τέρπωνται κατὰ θυμόν, ἑὸν κακὸν ἀμφαγαπῶντες
(Ἡσ. Ἔργα καὶ Ἡμέραι, στίχ. 55).

Ἀντὶ πυρὸς γὰρ ἄλλο πῦρ μεῖζον ἐκβλα-

στοῦμεν γυναῖκες, πολὺ δυσμαχώτερον(Κλήμ. Θ', 221).

Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ ληΐζεται
'Εσθλῆς ἄμεινον, οὐδὲ ῥίγιον κακῆς (Αὐτόθ. 225).

*Γυνὴ* μετὰ τὴν παιδοποιίαν ἀδελφή. Καὶ οἱ 'Απόστολοι οὐχ ὡς γαμετάς, ἀλλ' ὡς ἀδελφὰς περιῆγον τὰς γυναῖκας (Κλήμ. 'Αλεξ. Η', 1157. Θ', 321).

*Γυναῖκες* ἔνδοξοι καὶ σώφρονες παραβαλοῦσαι ἑαυτὰς εἰς κίνδυνον ὑπὲρ κοινῆς σωτηρίας. 'Η 'Ιουδίθ, 'Εσθήρ, Μαριὰμ ἡ ἀδελφὴ Μωϋσέως, Σωσάνα, Πηνελόπη ἡ 'Οδυσσέως, Λέαινα ἡ 'Αττική, Λυσιδίκη κατὰ Δίωνα, Φιλωτέρα, Τελέσιλλα ἡ ποιήτρια, Δαναοῦ θυγατέρες, ἡ 'Αταλάντη, 'Αντίκλεια, ἡ "Αλκηστις, ἡ Μακαρία, αἱ 'Υακυνθίδαι, Θεανὼ ἡ Πυθαγορική, Θεμιστὼ ἡ Ζωΐλου, ἡ Λαμψακηνὴ γυνὴ Λεοντέως, Μυῖα ἡ Θεανοῦς θυγάτηρ, ἡ 'Αριγνώτη, αἱ Διοδώρου θυγατέρες, 'Ιππαρχία ἡ Κράτητος γυνή, 'Αρίτη ἡ 'Αριστίππου, Λασθένεια ἡ 'Αρκαδία, 'Αξιοθέα ἡ Φλιασία, 'Ασπασία ἡ Μιλησία, Κόριννα, Τελέσιλλα, Μυῖα Θεσπιακή, Μυῖα Σπαρτιάτις, Σαπφώ, Εἰρήνη ἡ Κρατίνου θυγάτηρ, 'Αναξάνδρα ἡ Νεάλκους, ἡ Κλεοβούλου θυγάτηρ τοῦ σοφοῦ κτλ. κτλ. (Κλήμ. 'Αλεξ. Η', 1328-1340). Οὐκ ἠδοῦντο δέ, καίτοι εὐγενεῖς, πλούσιαι καὶ λόγιαι νίπτειν τῶν ξένων τοὺς πόδας, παρασκευάζειν ἄρτους· καὶ βασιλικαὶ κόραι παρ' 'Εβραίοις τὰ πρόβατα ἔνεμον. "Οθεν καὶ ἡ παρ' 'Ομήρῳ Ναυσικάα ἐπὶ τοὺς πλυνοὺς ᾔει (Αὐτόθ. 1333).

'Η σώφρων οὖν γυνὴ ἕλοιτ' ἂν πρῶτον μὲν πείθειν τὸν ἄνδρα κοινωνὸν αὐτῇ γενέσθαι τῶν πρὸς εὐδαιμονίαν φερόντων· εἰ δὲ ἀδυνάτως ἔχοι, μόνη σπευδέτω ἐπ' ἀρετήν, πάντα μὲν τῷ ἀνδρὶ πειθομένη, ὡς μηδὲν ἄκοντος ἐκείνου πρᾶξαί ποτε, πλὴν ὅσα εἰς ἀρετήν τε καὶ σωτηρίαν διαφέρειν νομίζεται (Αὐτόθ. 1333).

Περὶ τοῦ «Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν» (Ματθ. ιθ', 3, 4. κβ', 17). Οὐ πᾶσα αἰτία εὐλόγως λύει τὸν γάμον, καὶ ὅτι δεῖ τὸν ἄνδρα συνοικεῖν τῇ γυναικί, ὡς ἀσθενεστέρῳ σκεύει, ἀπονέμοντα τιμὴν κ. ἑ. ('Ωριγ. ΙΓ', 1225 κ. ἑ.).

Περὶ τῆς γυναικὸς τῆς ἑπτὰ λαβούσης ἄνδρας. 'Υπομνήματα ('Ωριγ. ΙΓ', 1560-1600).

*Γυνή.* "Ωσπερ ἤρξατο ἡ ἁμαρτία ἀπὸ τῆς γυναικός, καὶ μετὰ τοῦτο ἔφθασεν εἰς τὸν ἄνδρα, οὕτω καὶ τὰ ἀγαθὰ ἀπὸ τῶν γυναικῶν ἤρξατο, ἵνα προτραπῶσιν αἱ γυναῖκες, τὴν ἀσθένειαν καὶ τὰ γυναικεῖα ἀποθέμεναι, ζηλῶσαι τοὺς βίους τῶν μακαρίων τούτων κ. ἑ. σημ. ('Ωριγ. ΙΓ', 1819).

*Γυνή*, διὰ τί παρ' 'Εβραίοις ἰσσὰ καὶ παρ' Ἕλλησι καλεῖται γυνή; "Ες ὁ ἀνὴρ παρ' 'Εβραίοις, ἐξ οὗ ἰσσὰ ἡ γυνὴ κ. ἑ. (Εὐσέβ. ΚΑ', 857). "Ενθα Πλάτων περὶ τοῦ ὀνόματος ἀνδρὸς καὶ γυναικός.

*Γυναῖκες* Γήλων καὶ ἔθος ἐν αὐτοῖς. Παρὰ Γήλοις νόμος ἐστὶ τὰς γυναῖκας γεωργεῖν καὶ οἰκοδομεῖν, καὶ πάντα τὰ ἐργατικὰ πράττειν, καὶ κοινωνεῖν οἷς ἂν βούλωνται, καὶ μὴ ἐγκαλεῖσθαι ὑπὸ τῶν ἀνδρῶν, μήτε καλεῖσθαί τινα μοιχαλίδα, τῷ πάσας ἐργατικὰς εἶναι, καὶ πᾶσι κοινωνεῖν, μάλιστα δὲ τοῖς ξένοις. Παρ' ἄλλοις βαρβάροις ὅμοια καὶ διάφορα ἄλλα ἤθη καὶ ἔθιμα (Εὐσέβ. ΚΑ', 468-477).

'Οποῖα περὶ γυναικῶν καὶ ἐρώτων οὐκ ὀρθῶς ὁ μεγαλοφυὴς Πλάτων διετάξατο ἐν τοῖς Νόμοις (Εὐσέβ. ΚΑ', 1164-1180).

*Γυνὴ* ἐλήφθη ἐκ τοῦ ἀνδρός. Γνώμη Πλάτωνος μυθώδης περὶ τούτου καὶ τί ἦν ἀνδρόγυνον (Εὐσέβ. ΚΑ', 972).

Πολλῶν δικαίων δύο γυναῖκας ἐν τῇ Παλαιᾷ καὶ τρεῖς ἐχόντων, πῶς ἡμῖν οὐκ ἐπιτρέπεται δύο γυναῖκας ἔχειν, ἀλλ' οὐδὲ παλλακὰς κτήσασθαι; 'Απόκρ. Οὐ μόνον τὸ δύο γυναῖκας ἔχειν τοὺς θεοσεβεῖς ὁ Χριστὸς διεκώλυσεν, ἀλλὰ καὶ τῆς μιᾶς ἀπέχεσθαι τὸν βουλόμενον κ. ἑ. ('Αθαν. ΚΗ', 957 κ. ἑ.).

Πῶς νοητέον τὸ «'Ο ἐμβλέψας γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ» (Ματθ. ε', 28). Μοιχεύει γυναῖκα τῇ καρδίᾳ ἐκεῖνος, ὁ συνδιατιθέμενος τῇ πράξει· ἀπεκώλυσε δὲ τὸν τοιοῦτον ἀπὸ τῆς παρανόμου καὶ ἀθεμίτου κοινωνίας ἢ τόπος, ἢ χρόνος, ἢ φόβος τῶν ῥωμαϊκῶν νόμων ('Αθαν. ΚϚ', 1255. ΚΖ', 1369 περὶ τοῦ αὐτοῦ).

*Γυναῖκες* ἐν Φοινίκῃ τὴν τοῦ σώματος αὐτῶν μισθαρνίαν τοῖς θεοῖς προσάγουσιν (ΚΕ', 52).

*Γυναῖκας* οὐκ ἀποκλείει τῆς μακαριότητος ὁ Προφητάναξ, ὅταν λέγῃ· «Μακάριος ἀνήρ»· ὅτι ἀρκεῖν ἡγήσατο, μιᾶς οὔσης τῆς φύσεως (Βασίλ. ΚΘ΄, 216-217).

Καὶ ἡ γυνὴ ἔχει τὸ κατ' εἰκόνα Θεοῦ. Ὅμοιαι γὰρ αἱ φύσεις ἀμφοτέρων ἐπλάσθησαν, καὶ ἴσαι τούτων αἱ πράξεις, ἴσα τὰ ἔπαθλα, ἴση ἡ τούτων καταδίκη. Ἐπειδὴ οὖν ὁμότιμον τὸ κατ' εἰκόνα Θεοῦ εἰλήφασιν, ὁμότιμον ἔχουσι καὶ τὴν ἀρετὴν καὶ τὴν τῶν ἀγαθῶν ἔργων ἐπίδειξιν· καὶ οὐδεμία παραίτησίς ἐστι τῇ προβαλλομένῃ τυχὸν τὴν τοῦ σώματος ἀσθένειαν (Βασίλ. Λ΄, 33-34).

Ἡ γυνή ἐστιν ἀνδρεία, ἐνστατικὴ τοῦ καλοῦ καὶ καρτερική, δαψιλὴς ἐν δάκρυσι, φιλόπονος, ἄφθονος ἐν εὐποιΐαις καὶ φιλάνθρωπος κ. ἑ. (Αὐτόθ.).

*Γυναικὸς* καὶ ἀνδρὸς φυσιολογία (Βασίλ. Λ΄, 673 κ. ἑ.). Περιγραφὴ τῶν ἀφρόνων καὶ ἀσέμνων γυναικῶν (Αὐτόθ. 316-317).

Ὅτι δεῖ τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσιν· ὅτι οὐ δεῖ τὰς γυναῖκας πρὸς ὡραϊσμὸν κοσμεῖσθαι, ἀλλὰ τὴν πᾶσαν σπουδὴν καὶ μέριμναν ἔχειν περὶ τὰ ἀγαθὰ ἔργα. Ὅτι δεῖ τὰς γυναῖκας σιγᾶν ἐν Ἐκκλησίᾳ. Ἱερὰ παράλληλα (Βασίλ. ΛΑ΄, 852—853, 856).

Ὅτι οὐ δεῖ τὰς τῶν γυναικῶν συντυχίας ἀφυλάκτως ποιεῖσθαι. Πραγματεία (Βασίλ. ΛΑ΄, 1344). Ψεύδονται οἱ λέγοντες μὴ παραβλάπτεσθαι τῷ γυναιξὶ συνδιαιτᾶσθαι (Αὐτόθ. 1345).

Ἐν προσποιήσει πνευματικῆς ἀγάπης τὸ γύναιον ἄρχεται δι' ὀφθαλμῶν τῆς ἁμαρτίας ἐμφορηθῆναι, καὶ ἀκολάστοις ὄμμασι τὴν τοῦ πλησίον ἰδέαν ἐπιβόσκεσθαι (Αὐτόθ. ΛΑ΄, 1345).

*Γυνὴ* διὰ τί τῷ ἀνθρώπῳ ἐδόθη. Ὁ λαμβάνων γυναῖκα δώσει λόγον τῆς ἐγκρατείας καὶ τῆς τῶν παίδων ἀνατροφῆς. Πάντες ὀφείλομεν τηρεῖν τὰς τοῦ Εὐαγγελίου ἐντολάς. Μεγίστης προφυλάξεως χρεία πρὸς τὴν σωτηρίαν. Τῶν Πατριαρχῶν καὶ τῶν Προφητῶν τὰ παραδείγματα πρόκεινται τοῖς γάμῳ δεδεμένοις (Βασίλ. ΛΑ΄, 628-629).

Πότε γυνὴ τοῦ ἀνδρός, καὶ ἀνὴρ τῆς γυναικὸς διαζευχθῆναι δύναται. Ἱερὰ παράλληλα (Βασίλ. ΛΑ΄, 849-853). Οὐκ ἔξεστι τῷ ἀνδρί, ἀποβαλόντι τὴν ἰδίαν, ἄλλην ἀγαγεῖν (Αὐτόθ.). Καθήκοντα τῶν γεγαμηκότων (Αὐτόθ.).

*Γυνή*, φθείρασα κατ' ἐπιτήδευσιν, φόνου δίκην ὑπέχει· διότι καὶ φόνον ἔπραξε, καὶ αὐτὴ ἑαυτὴν ἐπεβουλεύθη (Βασίλ. ΛΒ΄, 672).

Ὅσαι γυναῖκες, ἐν αἱρέσει οὖσαι, παρθενίαν ὡμολόγησαν, εἶτα μετὰ ταῦτα γάμον ἀνθείλοντο, οὐχ ἡγοῦμαι χρῆναι καταδικάζεσθαι ταύτας. Ὅσα γὰρ ὁ νόμος λέγει, τοῖς ἐν νόμῳ λαλεῖ κ. ἑ. (Βασίλ. ΛΒ΄, 720).

*Γυναῖκες* ἐξ ἁρπαγῆς (Καν. Βασιλ. ΛΒ΄, 721, 725).

*Γυνὴ* καταλιμπάνουσα τὸν ἑαυτῆς ἄνδρα τῆς ἐν Νεοκαισαρείᾳ (Καν. ιθ΄). Γυνὴ μοιχευθεῖσα τῆς ἐν Γάγγρᾳ (Καν. η΄). Γυνὴ βίᾳ ἁρπαζομένη (Βασιλείου Καν. κϐ΄, λη΄, λθ΄).

*Γυνὴ* πᾶσα προσευχομένη ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν αὐτῆς (Α΄ Κορινθ. ια΄, 5). Διὰ τί; Ἐπειδὴ ἐν τῷ καιρῷ τῶν Ἀποστόλων ἀφιεμένας εἶχον τὰς τρίχας τῆς κεφαλῆς ἀντὶ σκεπάσματος κ. ἑ. (Μακάρ. Αἰγύπτ. ΛΔ΄, 565).

*Γυνὴ* σώφρων καὶ φίλανδρος, καὶ ἔργα αὐτῆς (Γρηγ. Ναζ. ΛΕ΄, 797 κ. ἑ.). Οἰκοδέσποινα ἀγαθή, εὐσεβὴς καὶ ἐλεήμων (Αὐτόθ. 797-781). Γυνὴ φιλόκοσμος καὶ καλλωπίστρια (Αὐτόθ.).

Κατὰ γυναικῶν καλλωπιζομένων.

Μὴ κεφαλὰς πυργοῦτε νόθοις πλοκάμοισι, γυναῖκες,
Θρύπτουσαι μαλακοὺς αὐχένας ἐκ σκοπέλων,
Μηδὲ Θεοῦ μορφὰς ἀπαλείφετε χρώμασιν αἰσχροῖς,
Ὥστε προσωπεῖον οὐχὶ πρόσωπα φέρειν κ. ἑ.
(Γρηγ. Ναζ. ΛΖ΄, 884, 908).

Καθήκοντα γυναικὸς πρὸς ἄνδρα ἐν τῷ γάμῳ (Αὐτόθ. ΛΖ΄, 1542-1550). Παραίνεσις. Εἴκειν αὐτῷ χολουμένῳ, καὶ μαλακοῖς λόγοις δαμάζειν (Αὐτόθ. 1544 κ. ἑ.). Κοινὰς καὶ τὰς εὐφροσύνας καὶ τὰ ἄλγη ἔχειν (Αὐτόθ. 1545). Καθήκοντα αὐτῆς ἐν τῷ οἴκῳ (Αὐτόθ.).

Πόσον ὀλέθριον τὸ ταύτας ἀγαπᾶν ἔρωτι (Αὐτόθ. ΛΖ΄, 340-341).

Ἡ γυνὴ τῶν πάντων κρατεῖ. Παροιμία (Αὐτόθ. ΛΖ΄, 1089). (Ἔσδρας, κεφ. γ΄, δ΄).

Ὅτι οὐκ ἔστιν ἄκεντρον τὸ τοὺς νέους ὁμιλεῖν γυναιξίν. Ἔνθα πόθεν κατ' ἀρχ ἀςαι

ἀφορμαὶ καὶ τοῦ κέντρου αἱ αἰτίαι (Αὐτόθ. ΛΖ', 801 κ. ἑ.).

Νόμος ὁ ἡμέτερος προστάσσει μηδ' ὄμματα βάλλειν ἐπὶ ἀλλοτρίαν γυναῖκα (Αὐτόθ. ΛΖ', 897 κ. ἑ.). Γυναικὸς δεινότης διπλῆ ἐν τοῖς θηράμασιν αὐτῆς (Αὐτόθ. ΛΖ', 925 κ. ἑ.).

*Γυνὴ* ἀνδρεία, σύζυγος ἀγαθή, δῶρον θεῖον (Γρηγ. Ναζ. ΛΕ', 993).

*Γυναῖκες* καὶ φόρτος τῆς φύσεως (Γρηγ. Ναζ. ΛΕ', 1216).

*Γυναικὸς* καὶ ἀνδρὸς εἷς ποιητής, εἷς χοῦς ἀμφότεροι, εἰκὼν μία, νόμος εἷς, θάνατος εἷς, ἀνάστασις μία. Ὁμοίως ἐξ ἀνδρὸς καὶ γυναικὸς γεγόναμεν. Πῶς οὖν σὺ μὲν σωφροσύνην ἀπαιτεῖς, οὐκ ἀντεισφέρεις δέ; πῶς ὃ μὴ δίδως αἰτεῖς; κ. ἑ. Ἄνισον ὁρῶ τὸν νόμον καὶ ἀνώμαλον. Τί δή ποτε γάρ, τὸ μὲν θῆλυ ἐκόλασε, τὸ δὲ ἄρρεν ἐπέτρεψεν; Καὶ γυνὴ μὲν κακῶς βουλευσαμένη περὶ κοίτην ἀνδρὸς μοιχᾶται, καὶ πικρὰ ἐντεῦθεν τὰ τῶν νόμων ἐπιτίμια, ἀνὴρ δὲ καταπορνεύων γυναικὸς ἀνεύθυνος; Οὐ δέχομαι ταύτην τὴν νομοθεσίαν, οὐκ ἐπαινῶ τὴν συνήθειαν. Ἄνδρες ἦσαν οἱ νομοθετοῦντες, διὰ τοῦτο κατὰ γυναικῶν ἡ νομοθεσία κ. ἑ. (Λϛ', 289).

Σωφροσύνη Πηνελόπης κτλ. (Αὐτόθ. ΛΗ', 513). Ἑκάβη καὶ Ἑλένη, Ἄδωνις καὶ Ἀφροδίτη, Κίρκη καὶ Πανδώρα, Δανάη καὶ Περσεύς, ἔνθα καὶ περὶ ζωγραφίας ξυλίνης δαμάλεως (Αὐτόθ. ΛΗ', 513-518).

*Γυναῖκες* εὐλαβεῖς καὶ θεόφρονες (Αὐτόθ. ΛΗ', 471). Γυναικῶν τεκουσῶν κάθαρσις. Ὁ διὰ Μωϋσέως θεῖος νόμος τοὺς τοκετοὺς ἐκάθηρεν, ὁρίσας προστεταγμένας ἡμέρας, αἷς ἐχρῆν τὰς τικτούσας καθαίρεσθαι, καὶ θυσίας περὶ καθαρσίων καί τινας ἁγνισμοὺς καὶ παρατηρήσεις (Αὐτόθ. ΛΗ', 373).

*Γυναῖκες* καλλωπιζόμεναι, ἤτοι ψιμυθιζόμεναι καὶ φυκαριζόμεναι· τοῦ γὰρ φυσικοῦ κάλλους ἀμοιροῦσαι, ψιμυθίοις καὶ φυκαρίοις καὶ τρίμμασι ζωγραφοῦνται χρωννύμεναι θεωρίᾳ· τὸ γὰρ ἐπιτήδευμα τῆς προαιρέσεως αὐτῶν γίνεται κατηγόρημα (Αὐτόθ. ΛΗ', 666).

*Γυνὴ* μόνη ἐξ ἁπάντων τῶν ἀερίων, ἐναλίων καὶ ἐπιγείων, καὶ μετὰ τὴν σύλληψιν οὐ παραιτεῖται τοῦ ἀνδρός. Διὸ τὴν γυναῖκα θηλυτέραν οἱ σοφοὶ προσηγόρευσαν. Πασῶν γὰρ ἐν πάσῃ τῇ κτίσει θηλειῶν μετὰ τὴν σπερματικὴν σύλληψιν οὐκ ἐπιδεχομένων τὸ ἄρσεν, ἡ γυνὴ τοῦτο ποιεῖν οὐ παραιτεῖται· ὅθεν θηλείας θηλυκωτέρα ἡ γυνή (Αὐτόθ. ΛΗ', 640-641).

*Γυνὴ* ἁμαρτωλός, ἡ ἀλείψασα τὸν Κύριον μύρῳ. Λόγος (Ἀμφιλόχ. Ἰκ. ΛΘ', 65-89). Γυνὴ εὐόλισθος φύσις. Ἔνθα περιγραφὴ ἀσέμνου γυναικὸς εἰς σαγήνην τῶν θεατῶν (Αὐτόθ. 72-73).

«Εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν» (Ματθ. ιθ', 3). Ὁμιλία (Ἀστέρ. Ἀμασ. Μ', 225—240). Εἰς τὴν σώφρονα Σωσάνναν (Αὐτόθ. 240-249).

*Γυναικῶν* κάπηλοι, καὶ τὰς γυναῖκας ἐμπορευόμενοι. Ἀκούσατε νῦν, κάπηλοι, καὶ τὰς γυναῖκας ὡς ἱμάτια εὐκόλως μετενδυόμενοι. Οἱ τὰς παστάδας πολλάκις καὶ ῥαδίως πηγνύντες ὡς πανηγύρεως ἐργαστήρια· οἱ τὰς εὐπορίας γαμοῦντες καὶ τὰς γυναῖκας ἐμπορευόμενοι· οἱ μικρὸν παροξυνόμενοι καὶ εὐθὺς τὸ βιβλίον τῆς διαιρέσεως γράφοντες· οἱ πολλὰς χήρας ἐν τῷ ζῆν ἔτι καταλιμπάνοντες· πείσθητε, ὅτι γάμος θανάτῳ μόνῳ καὶ μοιχείᾳ διακόπτεται κ. ἑ. (Ἀστέρ. Ἀμασ. Μ', 228 κ. ἑ.). Ὑπὲρ γυναικῶν καὶ κατ' ἀνδρῶν κακοποιούντων τὰς ἑαυτῶν γυναῖκας (Αὐτόθ. 228-229). Πιστὴ φιλία μόνη ἡ τῆς γυναικός. Δυσωπείτω δέ σε καὶ τὸ χρήσιμον τῆς γυναικὸς πρὸς τὸν βίον. Μέλος ὑπάρχει, βοηθός ἐστι· συνεργὸς εἰς διαγωγὴν τοῦ βίου, εἰς παίδων γένεσιν· νόσου ἐπίκουρος, θλίψεων παραμυθία, φύλαξ τῆς ἑστίας κτλ. κτλ. (Αὐτόθ. 229 κ. ἑ.).

Καὶ ἡ γυνὴ ἔχει τὸ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι, ὡς καὶ ὁ ἀνήρ. Ὁμοίως ὁμότιμοι αἱ φύσεις, ἴσαι αἱ ἀρεταί (Γρηγ. Νύσσ. ΜΔ', 276).

*Γυναικῶν* ζηλοτυπία. Χαλεπὸν γὰρ ταῖς νομίμοις γυναιξὶν ὑποπτευομένη δούλη πρὸς τὸν δεσπότην (Γρηγ. Νύσσ. Μϛ', 588).

*Γυναικὸς* ἀπάντησις πρὸς τὸν ἅγιον Ἐφραὶμ τὸν Σύρον· ὅτι ἡ γυνὴ ληφθεῖσα ἐκ τοῦ ἀνδρὸς οὐ κωλύεται ἀτενίζειν πρὸς ἄνδρα. Ὁ δὲ ἀνήρ, ὡς ἐκ γῆς ληφθείς, πρὸς τὴν γῆν ἀτενιζέσθω (Γρηγ. Νύσσ. Μϛ', 833).

*Γυναῖκας* μὴ διδάσκεσθαι τραγῳδίας. Αἰσ-

χρὸν γὰρ ᾤετο καὶ παντάπασιν ἀπρεπὲς ἢ τὰ τραγικὰ πάθη, ὅσα ἐκ γυναικῶν τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις τοῖς ποιηταῖς ἔδωκαν, ἢ τὰς κωμῳδικὰς ἀσχημοσύνας ἁπαλὴν καὶ εὔπλαστον φύσιν διδάσκεσθαι, καταμολυνομένην τρόπον τινὰ τοῖς ἀσεμνοτέροις περὶ τῶν γυναικῶν διηγήμασιν. Ἔνθα πῶς σκέπτεται ἡ σώφρων καὶ θεοφιλὴς γυνή. Εἰς βίον Μακρίνης (Γρηγ. Νύσσ. 961 κ. ἑ.).

Τί ἔθος παρὰ ταῖς φιλοκόσμοις τῶν γυναικῶν ἐστιν (Αὐτόθ. ΜΔ', 824).

*Γυνὴ* διὰ τί πρώτη τῆς ἀναστάσεως γίνεται μάρτυς (Γρηγ. Νύσσ.).

## Ἐκ τῶν τοῦ Χρυσοστόμου.

*Γυνὴ* ἐπλάσθη διὰ τὸν ἄνδρα (ΜΖ', 428). Γυνὴ γυναικὶ εὐκολώτερον συνοικήσειεν ἂν (ΜΖ', 520). Ἡδονήν τινα ἔχει καὶ τὸ ἁπλῶς συνοικεῖν γυναικί (Αὐτόθ. ΜΖ', 495). Κατὰ πόσον ἐπιτρέπεται τὸ συνοικεῖν γυναιξίν (Αὐτόθ. 495). Ἡ ὄψις αὐτῶν πόσον ὀλέθριος τοῖς ἀνθρώποις (ΜΖ', 501).

*Γυναῖκες* μάρτυρες· τῶν γυναικῶν μαρτύρων οἱ ἀγῶνες πλεῖον ἡμᾶς κινοῦσιν (Αὐτόθ. Ν', 687). Δύνανται στρατιῶται Χριστοῦ εἶναι (Αὐτόθ. 681). Αἱ γυναῖκες ὑπὲρ τῆς πίστεως πρὸς τοὺς ἀγῶνας ἐπορεύοντο (Αὐτόθ. 619).

*Γυναῖκες* καὶ παῖδες, φυλακῆς ἕνεκα, ἐκ τοῦ τραχήλου Εὐαγγέλιον ἐξήρτων (ΜΘ', 196).

*Γυνὴ* κυοφοροῦσα, εἴ ποτε περιπέσοι πταίσματι θανάτου δίκην ἐπάγοντι, οὐ χρὴ πρότερον ἀναιρεῖσθαι, πρὶν ἂν τέκῃ τὸ κυοφορούμενον (ΜΘ', 324).

Πολυτέλεια γυναικῶν (ΝΑ', 192). Τίνα τὰ καθήκοντα τῆς γυναικός (ΝΑ', 229-230).

*Γυνὴ* πῶς βοηθὸς τῷ ἀνδρί (ΝΓ', 116). Πρὸ τῆς παρακοῆς ἴση τῷ ἀνδρί (ΝΔ', 594). Διὰ τί τῆς Εὔας ἁμαρτούσης ἐτιμωρήθησαν (ΝΔ', 559-560).

Διὰ τί οὐκ ἐπιτρέπεται τῇ γυναικὶ διδάσκειν (ΝΔ', 594). Τῇ γυναικὶ ἁρμόζει ἡ ἀνατροφὴ τῶν παίδων (ΝΔ', 638). Διὰ τί οὐ λέγεται κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ πλασθῆναι (Αὐτόθ. 589). Ἡ ἐπιστροφὴ τῆς γυναικὸς πρὸς τὸν ἄνδρα, τίς ἐστιν (Αὐτόθ. ΝΔ', 594). Πῶς δύναται τηρῆσαι τὸν ἄνδρα. Γυναῖκα ἐμβλέπειν πόσον κινδυνῶδες (ΝΓ', 86).

Ὁ τὴν μήτραν γυναικὸς πρὸς γονὴν διανοίγων καὶ τῆς συλλήψεως αἴτιος ὁ Θεός ἐστιν (ΝΒ', 490).

Ποία ἡ διαφορὰ τῶν νῦν γυναικῶν καὶ μεταξὺ τῶν ἀρχαίων. Σύγκρισις αὐτῶν πρὸς τὴν Σάρραν (ΝΕ', 507).

Ἔκβαλέ μοι τῆς φιλοκόσμου γυναικὸς τὴν χεῖρα, καὶ ὁρᾷς αὐτὴν κεχρυσωμένην ἔξωθεν, ἔσωθεν δὲ πολιορκίαν γέμουσαν. Πόσων πενήτων, εἰπέ μοι, πλεονεξίαν ἡ χείρ σου βαστάζει; κ. ἑ. (ΝΕ', 507). Πῶς δύναται ἡ γυνὴ καὶ ὀφείλει ἀρέσαι τῷ ἀνδρί; (Αὐτόθ.). Ἔργα αὐτῆς οἰκιακά (Αὐτόθ.).

Πῶς νῦν φροντίζομεν εὑρεῖν γυναῖκα καὶ ἀγαγεῖν αὐτὴν τῷ υἱῷ ἡμῶν, καὶ πῶς πάλαι τοῦτο ἐγίνετο (Αὐτόθ. ΝΕ', 509-510). Ὁ μὲν Παῦλος κάτωθεν βοᾷ μὴ κοσμεῖν ἑαυτὰς τὰς γυναῖκας· αἱ δὲ γυναῖκες καὶ ἐν τῇ ἐκκλησίᾳ ἄνωθεν φοροῦσι τὰ κοσμήματα (Αὐτόθ. ΝΕ', 507).

*Γυναικῶν* πολυτέλεια ἐπὶ Ἡσαΐου (ΝϚ', 50). Πότε τιμωρηθήσονται αἱ καλλωπιζόμεναι γυναῖκες (Αὐτόθ. 50-53).

*Γυναικῶν* σφάλματα (ΝΖ', 368). Ἑρμηνεία εἰς τὸ «Ὁ ἐμβλέπων γυναικί» (ΝΖ', 265—266 κ. ἑ.).

Οὐδὲν ἀσχημότερον γυναικὸς μεθύσου (ΝΖ', 564). Γυναῖκες νηχόμεναι παρίσταντο ἐν τοῖς θεάτροις ἐπὶ Χρυσοστόμου (ΝΖ', 79—80). Γυμναὶ παρίσταντο ἐν τοῖς θεάτροις. Περιγραφὴ τῆς διαφθορᾶς καὶ ἀσελγείας αὐτῶν (ΞΒ', 427-428).

*Γυναῖκα* γαμεῖν μέλλοντες οὐ τρόπον ἐξετάζουσι καὶ ἀνατροφὴν κόρης, ἀλλὰ χρήματα εὐθέως καὶ κτήματα, καθάπερ συνάλλαγμά τι ἐπιτελοῦντες κοινόν (ΝΗ', 677). Ὁ δεῖνα, ἔλεγον ἐπὶ Χρυσοστόμου, ἀπὸ τῆς γυναικὸς εὔπορος γέγονεν (Αὐτόθ. 678. ΝΑ', 230).

*Γυναικῶν* κάλλη περιεργαζόμενοι. Περὶ τῶν τοιούτων· καὶ ὅτι ἐν ταῖς ἐκκλησίαις πρὸς τοῦτο σανίσι τειχία κατεσκευάσθησαν· καὶ ὅτι τοῦτο πάλαι οὐκ ἦν (ΝΗ', 677). Αἱ ἐν τῇ ἐκκλησίᾳ ὁμιλίαι τῶν γυναικῶν ἐμποδίζονται (ΞΒ', 543).

*Γυνὴ* καὶ ἀνὴρ οὐκ εἰσι δύο, ἀλλ' εἷς ἄνθρωπος (ΞΒ' 387). Τὴν οἰκίαν ὁ Θεὸς ταῖς γυναιξὶ φυλακὴν δέδωκεν (Αὐτόθ. ΞΒ', 694). Κατὰ γυναικῶν ἐπιτρίμμασι κεχρημένων (Αὐτόθ. ΞΒ', 524).

Ὁποίας προσήκει εἶναι τὰς γυναῖκας (Ξ', 665). Οὐδὲν αἰσχρότερον γυναικὸς ἡδοναῖς παραδοθείσης (Ξ', 206-207).

*Γυνὴ* δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ· μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ (ΝΑ', 217) Γυναῖκας ποίας δεῖ ἄγεσθαι (Αὐτόθ. 225). Σὰρξ τοῦ ἀνδρός ἐστιν ἡ γυνή, μέλος ἡμῶν ἀναγκαῖον. Μυστήριον ὁ γάμος. Πῶς μέγα; (ΝΑ', 230).

Ἀπὸ γυναικός, ὦ ἄνθρωπε, κερδαίνειν ἐπιθυμεῖς, καὶ οὐκ αἰσχύνῃ, οὐδὲ ἐρυθριᾷς; (ΝΑ', 230).

Περὶ σώφρονος, οἰκονόμου, καὶ περὶ διεφθαρμένης καὶ ἀκολάστου γυναικός (ΝΑ', 231-232). Γυναικὸς πρὸς ἄνδρα στασιαζούσης οὐδὲν ὑγιὲς ἔσται ἐπὶ τῆς οἰκίας κἂν ἅπαντα τἄλλα κατὰ ῥοῦν φέρηται πράγματα. Ὁμονοούσης δὲ καὶ εἰρηνευούσης τὰ πάντα ἤρεμα κ. ἑ. (Αὐτόθ.). Μακάριος δὲ ὁ ἀνήρ, καὶ τὰ τέκνα, καὶ ἅπασα ἡ οἰκία (Αὐτόθ.).

*Γυνὴ* ἐπέραστος τίς; καὶ πότε; (ΜΗ', 811). Γυναῖκα ἀπολῦσαι πότε; (ΜΗ', 860). Ἀναχωρήσας οἴκαδε ἕκαστος καλείτω τὴν γυναῖκα καὶ τὰ παιδία, καὶ λεγέτω, ὅτι εἰσφορὰ ἐπεβλήθη πνευματικὴ σήμερον κ. ἑ. (ΜΘ', 58). Φίλει γυναῖκα τὴν σύζυγόν σου (ΜΘ', 149). Περὶ γυναικῶν καλλωπιζομένων (ΜΘ', 231).

Ἀκουέτωσαν αἱ γυναῖκες καὶ ζηλούτωσαν τὴν ἀνδρείαν τῆς μητρὸς τῶν Μακκαβαίων (Ν', 621).

Ὅταν ἐκ τῆς ἐκκλησίας εἰσέλθῃς εἰς τὴν οἰκίαν, καὶ ἐρωτήσῃ σε ἡ γυνὴ τί ἐκόμισάς μοι ἐκ τῆς ἐκκλησίας, εἰπὲ πρὸς αὐτὴν κ. ἑ. (Ν', 706).

Ἐν λύπαις τέξῃ τέκνα κ. ἑ. (ΝΓ', 144). Φιλοκοσμία γυναικῶν (Αὐτόθ. 342). Ἀνὴρ καὶ γυνὴ ἀνάγκη ἀλλήλων βαστάζειν τὰ βάρη (ΝΓ', 350). Αἱ γυναῖκες τὸ πάλαι πῶς ἐκτὸς ζηλοτυπίας ἐτύγχανον (ΝΓ', 355). Πῶς ἀρέσει τῷ ἀνδρὶ αὐτῆς; (ΝΕ', 507). Περὶ γυναικῶν (ΝϚ', 520). Διὰ τί παρ' Ἑβραίοις μήτηρ οὐ γενεαλογεῖται (ΝΖ', 27).

Ἡ γυνὴ ἀπολαυέτω τὴν ὀφειλομένην τιμὴν παρὰ τοῦ ἀνδρός (ΝΖ', 82). Πῶς δεῖ τὸν ἄνδρα διορθοῦσθαι τὴν γυναῖκα (ΝΖ', 368). Τίς γυνὴ σπουδὴν ἐποιήσατο ἄνδρα βελτίω ποιῆσαι; Τίς ἀνὴρ ταύτην ἔθετο τὴν φροντίδα, ὥστε γυναῖκα διορθώσασθαι; (Αὐτόθ. ΝΗ', 677).

*Γυναικῶν* προὶξ καλλίστη τίς; (ΝΗ',678). Γυναικὸς εὐλαβοῦς καὶ συνετῆς οὐδὲν ἰσχυρότερον κ. ἑ. (ΝΘ', 340).

Περὶ τῶν ἐπίδειξιν ἐν τοῖς θρήνοις ποιουσῶν γυναικῶν καὶ κωκυτοῖς κ. ἑ. (ΝΘ',345).

*Γυναῖκες* Λάκαιναι (ΝΘ', 345).

*Γυναῖκες* πονηραὶ καὶ ἀγαθαί (ΝΘ', 485). Γυναικῶν ἐλαττώματα δεῖ φέρειν καὶ μὴ τύπτειν αὐτάς (ΞΑ', 213). Οὐ δεῖ λαλεῖν γυναῖκας ἐν ἐκκλησίᾳ (ΞΑ', 316). Γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ (ΞΒ', 365).

Βούλει φαίνεσθαι καλὴ καὶ εὐπρεπὴς κ. ἑ. Περὶ καλλωπισμοῦ γυναικῶν (ΞΒ', 372). Θέλεις χρυσίον περιθέσθαι; κ. ἑ. (Αὐτόθ. 383).

*Γυνὴ* πῶς δύναται ἔτι μᾶλλον ἑλκύειν τὸν ἄνδρα εἰς εὔνοιαν (Χρυσόστ. ΝΘ', 341).

Εἰς τὴν ἁμαρτωλὸν καὶ τὸν Φαρισαῖον (ΞΑ', 745). Μὴ γάρ μοι τὰς ἀπεγνωσμένας εἴπῃς· φιλόκοσμόν πως τὸ γένος ἐστί, καὶ τοῦτο ἔχει τὸ ἐλάττωμα. Ἀλλὰ κἂν τούτῳ νικᾶτε ὑμεῖς οἱ ἄνδρες κ. ἑ. Ἄλλως δὲ οὐ τοσοῦτον ἁμάρτημά ἐστιν ἐπὶ γυναικός, ὅσον ἐπὶ ἀνδρός (Αὐτόθ. ΞΒ', 100).

*Γυναῖκες* πικρόχολοι καὶ αὐτόχολοι (Αὐτόθ. ΞΒ', 108). Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν (ΞΒ', 135). Οἱ ἄνδρες ἀγαπᾶτε τὰς ἑαυτῶν γυναῖκας (Αὐτόθ.).

Μὴ ζήτει τὴν εὐμορφίαν· ψυχῆς ἐπιζήτει κάλλος. Ἀλλ' ἡδονὴν ἔχει; Μέχρι τοῦ πρώτου μηνὸς καὶ τοῦ δευτέρου ἢ τὸ πολὺ τοῦ ἐνιαυτοῦ, λοιπὸν δὲ οὐκ ἔτι, ἀλλ' ὑπὸ τῆς συνηθείας τὸ θαῦμα μαραίνεται κ. ἑ. (ΞΒ', 138). Περὶ πλουσίων γυναικῶν· περὶ προικὸς γυναικῶν (Αὐτόθ.).

Ἡ ἀγάπη συνδέει τὸν γάμον, καὶ οὐχὶ ὁ φόβος. Ἀγάπης οὔσης ἐν τῇ συζυγίᾳ, πάντα ἔσονται τὰ ἄλλα. Οὕτω δύσκολον καὶ χαλεπὸν ἡ ὁμόνοια, ὅταν μὴ τῇ τῆς τυραννίδος

ἀγάπῃ ὦσι συνδεδεμένοι (ΞΒ', 141). Ἀσθενέστερόν πως τὸ γένος ἐστίν, πολλῆς δεόμενον τῆς βοηθείας, πολλῆς τῆς συγκαταβάσεως (Αὐτόθ.).

